ἀπαγορευτικός, ή, όν, ὁ ἀπαγορεύων, ἐμποδίζων, μὴ ἐπιτρέπων, Πλουτ. 2. 1037F. — Ἐπίρρ. **-κῶς**, Σχόλ. εἰς Ὅμ. πρὸς ἐξήγησιν τοῦ **ἀπηλεγέως**· — ἐν τῇ γραμμ. «ἀπαγορευτικὰ ἐπιρρήματα» Α. Β. σ. 947. 27, «τὸ ἐστὶ .. βαρύνεται καὶ μετὰ τοῦ μὴ ἀπαγορευτικοῦ» Ἐτυμ. Μ. 301. 4.

ἀπᾰγορεύω, τὸ πλεῖστον κατ' ἐνεστ. καὶ παρατ. μόνον (τὸ **ἀπερῶ** εἶναι ὁ δόκιμος μέλλ., **ἀπεῖπον** δὲ ὁ ἀόρ., **ἀπείρηκα** ὁ πρκμ. καὶ **ἀπορρηθήσομαι**, **ἀπερρήθην**, **ἀπείρημαι** ὡς παθ. μέλλ., ἀόρ. καὶ πρκμ.): ἀόρ. **ἀπηγόρευσα** Πλάτ. Θεαίτ. 200D (ἀλλὰ **ἀπαγορεύῃς** ἐν τῷ Βοδλ. χειρογρ.), Δημ. 1021. 18., 1273. 2, καὶ συχνάκις παρὰ μεταγεν. συγγρ.: πρκμ. **ἀπηγόρευκα**, Ἀριστ. Φυσιογν. 3. 8, Πλούτ. 2. 1096, κτλ.· καὶ ὁ Ἀριστ. (ἴδε κατωτέρ.) ἔχει παθ. πρκμ. **ἀπηγορευμένος** (ἴδε **ἀγορεύω**): — δὲν ἐπιτρέπω, ἀπαγορεύω, μὴ ποιεῖν τι Ἡρόδ. 1. 183., 3. 51., Ἀριστοφ. Ἀχ. 169, Πλάτ., κλ.· ἀπ. τινὶ μὴ ποιεῖν Ἡρόδ. 4. 125, Πλάτ.· ἀπ. τινὰ ποιεῖν Ξεν. Κύρ. 1. 4, 14· ὡσαύτως, ἔμοιγε ἀπηγόρευες ὅπως μὴ .. ἀποκρινοίμην Πλάτ. Πολ. 339A· τοῦ νόμου ἀπαγορεύοντος ἐάν τις .. Λυσίας 114. 39· ἀπ. τι ὁ αὐτ. 116. 38· περὶ ὧν ὁ νόμος ἀπ. μὴ κινῶσιν Ἀριστ. Πολ. 4. 14, 8· τὰ ἀπηγορευμένα, τὰ μὴ ἐπιτρεπόμενα, αὐτόθι 7. 17, 9· οὕτω καὶ παρὰ μεταγ., πρβλ. Σέξτ. Ἐμπ. π. Π. 1. 152. 2) ἀποτρέπω, πολλὰ ἀπαγορεύων οὐδὲν ἤνυε Ἡρόδ. 9. 66· πρβλ. 3. 124· ἀπ. τινί τι Πλουτ. Ἄρατ. 35. **II.** ἀμετάβ., παραιτοῦμαι, ἐγκαταλείπω, βαρύνομαι, ἀρχίζω νὰ κουράζωμαι, μ. δοτ., ἐπειδὴ ἑώρα [ὁ βασιλεὺς] Λακεδαιμονίους τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας Πλάτ. Μενέξ. 245B· ὡσαύτως μετὰ μετοχ., οὔτε λέγων, οὔτε ἀκούων περὶ ἐκείνου οὐδεὶς ἀπαγορεύει Ξεν. Κυν. 1. 16· ἀπ. θεώμενος ὁ αὐτ. Ἱππ. 11. 9: — ἀπολ., παραιτοῦμαι, ἀφίνω τι, Πλάτ. Πολ. 368C. 2) ὡς τὸ **ἀπείρηκα**, **ἀπεῖπον**, ἀπαυδῶ, ἐλαττοῦμαι, ἐκλείπω, ὡς δύναμις κτλ., αὐτόθι 568C, Θεαίτ. 200D (ὅμοιον πρὸς τὸ **ἀπεροῦμεν**, ὀλίγον ἀνωτέρω), καὶ παρὰ Ξεν., ἀπ. γήρᾳ, ἕνεκα γήρως, ὁ αὐτ. Ἱππαρχ. 1. 2· ὑπὸ πόνων ἀπαγορεύοντες, καταβαλλόμενοι, ἐξαντλούμενοι, Ἀν. 5. 8, 3· ταχὺ ἀπαγορεύουσιν οἱ ἵπποι Ἀριστ. π. Ζ. πορ. 14. 3· ἀπ. πρὸς στρατείαν Πλουτ. Κορ. 13: — ὡσαύτως ἐπὶ πραγμάτων, τὰ ἀπαγορεύοντα, τὰ καθιστάμενα ἄχρηστα ἐκ τῆς πολλῆς χρήσεως, Ξεν. Κύρ. 6. 2, 33.

ἀπαγορία, Δωρ. ἀντὶ **ἀπηγορία**.

ἀπαγρεύω, ἀφαιρῶ, «ἀπαγρευθείς· ἀφαιρεθείς» Ἡσύχ.

ἀπαγριόομαι, παθ., γίνομαι ἄγριος, μή μ' ὄκνῳ δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον Σοφ. Φ. 226, πρβλ. Πλάτ. Πολιτικ. 274B· ὑπὸ τῶν στατήρων ἦν [ἡ Λαῒς] ἀπηγριωμένη, ἕνεκα τῶν χρημάτων κατέστη ὅλως διόλου ἀγρία, Ἐπικράτ. ἐν «Ἀντιλαΐδι» 1. 16.

ἀπαγρίωσις, εως, ἡ, ἡ μεταβολὴ εἰς ἀγρίαν κατάστασιν, Θεόφρ. Αἰτ. Φ. 4. 5, 6.

ἄπαγρος, ον, (ἄγρα) «ἀτυχὴς περὶ τὰς ἄγρας» Ἡσύχ.

ἀπαγχονίζω, κρεμῶ τινα ἐκ τοῦ λαιμοῦ καὶ οὕτω τὸν πνίγω, νῆμα λαβὼν ἀράχνης αὐτὸν ἀπηγχόνισεν Ἀνθ. Π. 11. 111: — Παθ., ἀπὸ τῆς τοιαύτης ὄψιος πολλοὶ ἤδη ἀπηγχονίσθησαν Ἱππ. 562. 32. **II.** λύω ἀπὸ τῆς ἀγχόνης, ἀπωλώλει ἄν, εἰ μὴ ἐγὼ ἐπιστάς, ἀπηγχόνισά τε αὐτὸν καὶ παρέλυσα τῆς ἐμβροχῆς Λουκ. Λεξιφ. 11.

ἀπαγχόνισις, εως, ἡ, θάνατος δι' ἀγχόνης, «κρέμασμα», Θεόδ. Στουδ. σ. 492C.

ἀπάγχω: μέλλ. **-άγξω**, στραγγαλίζω, πνίγω, ὁ μὲν λάε νεβρὸν ἀπάγχων Ὀδ. Τ. 230· γαλῆν ἀπ. Ἀριστοφ. Εἰρ. 796, πρβλ. Πλουτ. Μάρ. 27, Λουκ. Λεξιφ. 11· ὃ μάλιστά μ' ἀπάγχει, μὲ πνίγει, μὲ κάμνει νὰ σκάνω, Ἀριστοφ. Σφ. 686: — Μέσ. καὶ παθ., ἀπαγχονίζω ἐμαυτόν, ἀπαγχονίζομαι, Ἀρχίλ. 61, Ἡρόδ. 2. 131, Ἱππ. Ἀφ. 1246, Αἰσχύλ. Ἱκ. 465, Ἀνδοκ. 16. 28· ἐκ δένδρων Θουκ. 3. 81· ὥστε μ' ἀπάγχεσθ', ἤμην ἕτοιμος νὰ κρεμασθῶ, Ἀριστοφ. Νεφ. 988· ἀπάγξασθαι ῥηγνύμενος Ἀρρ. Ἐπίκτ. 2. 20, 31.

ἀπάγω: μέλλ. **-άξω**, ἄγω, ὁδηγῶ μακράν, ἁρπάζω, ἀπάγουσι βόας καὶ ἴφια μῆλα Ὀδ. Σ. 278· οὕτω παρὰ Τραγ., κτλ. **προσάγειν** .., **ἀπάγειν** .., ἄγειν πλησίον .., ἄγειν μακράν .., Ἀριστ. Προβλ. 31. 25· ἀπ. ἀχλὺν ἀπ' ὀφθαλμῶν, μετακινῶ, ἀφαιρῶ

Θεόφρ. Ἱστ. Φ. 7. 6, 2· τὸ ἱμάτιον τοῦ τραχήλου Πλουτ. Ἀντών. 12:—Μέσ., λαμβάνω μετ' ἐμαυτοῦ ἢ δι' ἐμαυτόν, Ἡρόδ. 1.196. 4. 80, Τραγ.· ἢ διότι εἶναι ἐμόν, Ξεν. Κύρ. 3. 1, 37, κτλ.: — Παθ., ἐς ὀξὺ ἀπηγμένας, ληγούσας εἰς ὀξύ, «μυτεράς», Ἡρόδ. 7.64, πρβλ. 2. 28, Ἀριστ. π. Ζ. Μορ. 2. 16, 1. **2**) ὁδηγῶ μακράν, ἀποσύρω στρατόν, τῆς στρατιῆς τὸ πολλόν, Ἡρόδ. 8. 100, πρβλ. 115, Θουκ. 1. 28, κ. ἀλλ.· οὕτως, ἀπ. κώμους πρὸς τάφον Εὐρ. Τρῳ. 1184· θεωρίαν εἰς Δῆλον Πλάτ. Φαίδων 58B· ἄπαγε τὸν ἵππον Ἀριστοφ. Νεφ. 35. **6**) ἐλλειπτικῶς, ἀποσύρομαι, ἀναχωρῶ, Ἡρόδ. 5. 120, Ξεν. Ἑλλ. 1. 1, 34, κ. ἀλλ., πρβλ. **ἄπαγε**.

II. φέρω ὀπίσω, φέρω εἰς τὴν πατρίδα, Ἰλ. Σ. 326· ἀπήγαγεν οἴκαδε Ὀδ. Π. 370, πρβλ. Σοφ. Φ. 941, Ξεν. Ἀν. 1. 3, 14· ἀπ. ὀπίσω Ἡρόδ. 9. 117. **III**. ἐπιστρέφω, ἀποδίδω ὅ,τι ὀφείλω, πληρώνω, (ὡς τὸ **ἀποδίδωμι**, **ἀποφέρω**), τὸν φόρον Ἀριστοφ. Σφ. 707, πρβλ. Ξεν. Κύρ. 2. 4, 12, Θουκ. 5. 53, πρβλ. **ἀπαγωγὴ** III. **IV**. συλλαμβάνω καὶ ἄγω διὰ τῆς βίας, ἀπάγετε αὐτὸν παρ' ἐμέ, Ἡρόδ. 2. 114, πρβλ. 6. 81· δεῖν κἀπάγειν ἐφίετο Εὐρ. Βάκχ. 439:—Παθ., ἀπαχθέντας παρ' ἑωυτὸν Ἡρόδ. 6. 119. **2**) ἰδίως ὡς Ἀττ. νομικὸς ὅρος, ἄγω ἐνώπιον ἄρχοντος καὶ κατηγορῶ, (ἴδε **ἀπαγωγὴ** III.), Ἀντιφῶν 139.27· ἀσεβείας, δι' ἀσέβειαν, Δημ. 601. 26· ἀπ. ὡς θεσμοθέτας ὁ αὐτ. 630. 16· ἀπ. τοῖς ἕνδεκα ὁ αὐτ. 736. 2, πρβλ. Ἀντιφῶντα 137. 35. **3**) ἐντεῦθεν ὡς τὸ ἀποτέλεσμα τοιαύτης ἐνεργείας, ἄγω εἰς τὴν φυλακήν, Πλάτ. Γοργ. 486A, Δημ. 647. 2· εἰς τὸ δεσμωτήριον Ἀνδοκ. 31. 24, Δημ. 940. 4· ἀπολ., ὡς γόης ἀπαχθῆναι Πλάτ. Μένων 80B· ἀπαχθεὶς Λυσ. 172. 34. **V**. ἐπὶ συζητήσεως, ἀπομακρύνω τὸν λόγον τοῦ προκειμένου, φέρω αὐτὸν μακρὰν τῆς ὑποθέσεως, ἰδίως διὰ σοφιστείας, ἀπὸ τοῦ ὄντος ἑκάστοτε ἐπὶ τοὐναντίον Πλάτ. Φαῖδρ. 262B· ἀπ. τινὰ ἀπὸ τῆς ὑποθέσεως Δημ. 416. 24· ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης, ἀποτρέψας, ἀποκλίνας, Θουκ. 2. 59· ἀπὸ δεινῶν ἀπ. τὴν γνώμην αὐτόθι 65. **2**) ἀφαιρῶ, ἀποχωρίζω, ἀπ' ὄψεως.. τὰ δοξάζοντα ἀπ. Πλάτ. Φίλ. 39B, πρβλ. Φαίδωνα 97B. **VI**. ἁπλῶς φέρω, ἐν ἀριστερᾷ τόξον ὁ αὐτ. Νόμ. 795A.

ἀπᾰγωγή, ἡ, τὸ ἀπάγειν, ἀπάγειν μακράν, τοῦ στρατεύματος Ξεν. Ἀν. 7.6, 5 :— ἡ διὰ τῆς βίας γινομένη ἀπαγωγή, ἁρπαγή, γυναικῶν ἀπαγωγαὶ Λουκ. Φάλ. A. 3. **II**. πληρωμή, κατεστρέψατο ἐς φόρου ἀπ., ὑπέβαλον αὐτοὺς εἰς πληρωμὴν φόρου, Ἡρόδ. 1. 6, 27, 2. 182, πρβλ. **ἀπάγω** III, **ἀπαγινέω**. **III**. ὡς Ἀττ. νομικὸς ὅρος. **1**) ἐνέργεια, ἄνευ τινὸς διατυπώσεως, καθ' ἣν ἄνθρωπος ληφθεὶς ἐν τῇ πράξει τοῦ ἐγκλήματος (ἐπ' αὐτοφώρῳ) ἠδύνατο νὰ συλληφθῇ ὑπὸ οἱουδήποτε πολίτου καὶ νὰ ἀχθῇ ἐνώπιον τῶν ἀρχόντων (συνήθως πρὸ τῶν ἕνδεκα, ἴδε τὴν λέξιν), Ἀντιφῶν 130. 20, Ἀνδοκ. 12. 9, Λυσ. 137. 43, κἑξ., Δημ. 735, ἐν τέλ.· ἀπαγωγῆς ἄξια Ὑπερείδ. ὑπὲρ Εὐξεν. 22 : κατά τινας περιστάσεις ἡ τοιαύτη σύλληψις ἐπετρέπετο ἐπὶ τῇ βάσει πασιγνώστου ἐνοχῆς, ἴδε **αὐτόφωρος** ἐν τέλ. **2**) ἡ ἔγγραφος καταγγελία, ἡ εἰς τοὺς ἄρχοντας παραδιδομένη, ἀπάγειν τὴν ἀπαγωγήν, ποιεῖν καταγγελίαν, καταγγέλλειν, Λυσ. 138. 7· παραδέχεσθαι ἀπαγωγήν, ἐπὶ τῶν ἕνδεκα ὅτε παρεδέχοντο τὴν ἀπαγωγήν, οἱ ἕνδεκα οἱ παραδεξάμενοι τὴν ἀπαγωγὴν ταύτην ὁ αὐτὸς 138.5· πρβλ. Λεξικ. Ἀρχ. **IV**. ἐν τῇ λογικῇ τοῦ Ἀριστ., ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγή, ἔμμεσος ἀπόδειξις, reductio ad impossibile, Ἀναλυτ. Πρ. 1. 7, 4·—ἀλλ' ὡσαύτως καὶ εἶδος ἐπιχειρήματος περιγραφομένου ἐν 2. 25 : «ἀπαγωγή ἐστιν ὅταν τῷ μὲν μέσῳ τὸ πρῶτον δῆλον ᾖ ὑπάρχον, τῷ δὲ ἐσχάτῳ τὸ μέσον ἄδηλον μὲν ὁμοίως δὲ πιστόν, ἢ μᾶλλον τοῦ συμπεράσματος, ἔτι ἂν ὀλίγα ᾖ τὰ μέσα τοῦ ἐσχάτου καὶ τοῦ μέσου» κτλ.

ἀπᾰγωγός, όν, ὁ ἀπάγων, ὁ ἀπομακρύνων, «αἱ γὰρ ἔνθεοι διὰ λόγων ἡδοναί, ἐπαγωγοὶ μὲν ἡδονῆς, ἀπαγωγοὶ δὲ λύπης γίνονται», Γοργ. Ἐγκώμ. Ἑλ. 95.

ἀπᾰγώνιος, ἴδε ἐν λ. **ἐπαγώνιος**.

ἀπᾰδεῖν, Ἰων.—**έειν**, ἴδε ἐν λ. **ἀφανδάνω**.

ἀπᾰδικέω, ἀδίκως κατακρατῶ, μισθὸν ἀπ. τινος Ἑβδ. (Δευτερ. κδ', 14).

ἀπάδις, αἱ, [ᾱπᾰ], εὑρισκόμενον ἐν πλείστοις χειρογρ. τοῦ Πινδ. Π. 1. 161, καὶ ἑρμηνευόμενον ὡς = **πραπίδες** (πρβλ. **ἧπαρ**)· ἀλλ' ὑπάρχει πολλὴ πιθανότης διὰ τὴν γραφὴν **ἐλπίδας**, ἣν ὁ Βοίκχιος ἀποδέχεται.

ἀπᾴδω: μέλλ.—**ᾴσομαι**, Πλάτ. Τίμ. 26D :—ᾄδω παραφώνως, διατελῶ ἐν παραφωνίᾳ, δεινὸν γὰρ ὅλῃ τῇ ἁρμονίᾳ ἀπᾴδειν ὁ αὐτ. Νόμ. 802E, πρβλ. Ἀριστ. Προβλ. 19. 21· ἀπολ., Πλάτ. Ἱππ. Ἐλ. 374C. **II**. μεταφ. διαφωνῶ, διαφέρω, ἀπ' ἀλλήλων ὁ αὐτ. Νόμ. 662B: πρός τι Πλουτ. Λυκοῦργ. 27· μετὰ γεν., ἐθῶν Λουκ. Ἀνάχ. 6. **2**) ἀπομακρύνομαι, ἀποπλανῶμαι, ἀπὸ τοῦ ἐρωτήματος Πλάτ. Ἱππ. Μείζ. 292C.—Ἐντεῦθεν ἐπίρρ. **ἀπᾳδόντως**, ἀκαταλλήλως, ἀσυμφώνως, Πλωτῖν. 3. 4, 5.

ἀπᾰείρω: ἀόρ. **-ήειρα**, ποιητ. τύπος τοῦ **ἀπαίρω**, ἀπέρχομαι, Εὐρ. Ἀποσπ. 775. 62 :—οὕτως ἐν τῷ μέσ. τύπῳ, ἀπαειρόμενον πόλιος Ἰλ. Φ. 563.

ἀπαέξομαι, ποιητ. ἀντὶ τοῦ **ἀπαυξάνομαι**, θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος Σιμωνίδ. Ἀμοργ. 7. 85· ὑπερσυντ. **ἀπηέξηντο**, Κόϊντ. Σμ. 14.198.

ἀπᾱερόομαι, παθ., μεταβάλλομαι εἰς ἀέρα, «μέλλων δ' εἰς πῦρ μεταβαλεῖν πρῶτον ἀπηερώθη» Τζέτζ. Ἀλληγ. σ. 163, 577.

ἀπᾰθᾰνᾰτίζω, κλίνω πρὸς τὸ ἀθάνατον, κλίνω πρὸς τὸ θεῖον, προσπαθῶ νὰ παρομοιάσω πρὸς τὸ θεῖον, χρὴ δὲ οὐ κατὰ τοὺς παραινοῦντας, ἀνθρώπινα φρονεῖν, ἄνθρωπον ὄντα, οὐδὲ θνητὰ τὸν θνητόν· ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἀπαθανατίζειν καὶ ἅπαντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὐτῷ Ἀριστ. Ἠθ. N. 10.7, 8, Πλάτ. Χαρμ. 156D, ἔνθα ἴδε Heind. **II**. μεταβ., ἀνάγω τινὰ εἰς θεούς, ἀποθεῶ αὐτόν, Διόδ. 2. 20· ἀπ. τὴν ψυχήν, παριστῶ αὐτὴν ὡς ἀθάνατον, Σχόλ. εἰς Ἀριστ. 576. 38 Brandis: —Παθ., καθίσταμαι ἀθάνατος, κερδαίνω τὴν ἀθανασίαν, ψυχαὶ ἀπαθανατιζόμεναι, κατ' ἀντίθεσιν πρὸς τὰ φθαρτὰ σώματα, Φίλων 1. 427: γίνομαι θεός, Δίων K. 45. 7· τὸ ὄνομά μου καθίσταται ἀθάνατον, τοὺς διὰ τῶν ποιημάτων ἀπαθανατιζομένους τῇ δόξῃ Διόδ. 4.7 ἐν τέλει.

ἀπᾰθᾰνάτισις, ἡ, ἀποθέωσις, Δίων K. 60. 35: καὶ **-ισμός**, ὁ, Ἐπιφάν.

ἀπαθανατόω, ἀπαθανατίζω, Οἰνόμ. παρ' Εὐσεβ. Εὐαγγ. Πρ. 230.

ἀπάθεια, ἡ, ἔλλειψις αἰσθήσεως, ἀναισθησία, ἐπὶ πραγμάτων, ἐν ἀντιθ. πρὸς τὸ **πάθος**, Ἀριστ. Φυσ. 4. 9, 11· μεταφ. 8.1, 5. **II**. ἐπὶ προσώπων, ἀναισθησία, ἀπάθεια, ὁ αὐτ. Ἠθ. N. 2. 3, 5, Περὶ ψυχ. 3. 4, 5· ἀπάθεια κακῶν Θεοφρ. A. Ἱστ. Φ. 9. 15, 1· ἀπ. περί τι Ἀριστ. Ἀναλυτ. Ὕστ. 2. 13, 18, Ῥητ. 2. 6, 2. **2**) παρὰ τοῖς Στωϊκοῖς, ἡσυχία, ἔλλειψις πάθους, ἡ κατάστασις τοῦ κατ' αὐτοὺς ἀληθοῦς σοφοῦ, τὸ τοῦ Ὁρατίου nil admirari, πρβλ. Heyne Ἐπίκτ. 12. 29· κατὰ πληθ. Σέξτ. Ἐμπ. π. M. 10. 224. **III**. ἔλλειψις ἢ ἀπουσία παθημάτων, δι' ἀπάθειαν, χωρὶς νὰ ὑποφέρῃ τις πόνον, Ἀριστ. π. Ζ. Μορ. 4. 6. 6.

Ἀπαθηναῖοι, ων, οἱ, οἱ παρηλλαγμένοι, οἱ διεφθαρμένοι Ἀθηναῖοι, Θεοπόμπ. Ἱστ. 332, κατακρινόμενον ὑπὸ τοῦ Πολυδ. Γ', 58.

ἀπᾰθής, **ές**, ὁ ἄνευ πάθους ἢ αἰσθήσεως, ὁ μὴ πάσχων ἢ ὁ μὴ παθών: **I**. μ. γεν., ἀπ. ἔργων αἰσχρῶν Θέογν. 1177· κακῶν Ἡρόδ. 1.32., 2.119, Ξεν. Ἀν. 7.7, 33, κτλ.· ἀεικείης Ἡρόδ. 3.160· τῶν σεισμῶν τῶν τοῦ σώματος Πλάτ. Φίλ. 33E, νόσων Δημ. 1399.19, κτλ., ἀλλ' ὡσαύτως ἄνευ πείρας τινός, πόνων Ἡρόδ. 6. 12· καλῶν μεγάλων ὁ αὐτ. 1. 207. **2**) ἀπολ. Αἰσχύλ. Πέρσ. 861, Θουκ. 1. 26· πρός τινος Πινδ. Π. 4. 529· χάριν ἴσθι ἐὼν ἀπαθής, νὰ ὁμολογῇς χάριν ὅτι δὲν ἐτιμωρήθης, Ἡρόδ. 9.79: ἐν γένει ὁ μὴ παθών, ὑπό τινος Ἀριστ. Προβλ. 3. 8, Θεοφρ. π. Πυρ. 42· πρός τι Πλουτ. Ἀλκιβ. 13, κτλ.· μετὰ δοτ., ἀπαθὴς ὢν τῷ πυρὶ Λουκ. Πλοῖον ἢ Εὐχ. 44 (3. 277). **II**. ὁ ἄνευ πάθους ἢ αἰσθήματος, ἀναίσθητος, ἀπαθής, διάφ. τοῦ **ἐγκρατής**, Ἀριστ. Τοπ. 4. 5. 2, πρβλ. Ῥητ. 2. 1, 4., 2. 5, 18: — Ἐπίρρ., ἀπαθῶς ἔχειν Πλουτ. Σόλ. 20· ὑπερθ. **-έστατα** Λογγῖν. 41. 1. **2**) ἐπὶ πραγμάτων, ὁ μὴ ὑποκείμενος εἰς μεταβολήν, μὴ πάσχων μεταβολήν, Ἀριστ. Μεταφ. 4.12, 4, κ. ἀλλ.· ἀπαθεῖς αἱ ἰδέαι ὁ αὐτ. Τοπ. 6.10, 2, πρβλ. Μεταφ. 1. 9, 19· Ἀναξαγόρας τὸν νοῦν ἀπαθῆ λέγει ὁ αὐτ. Φυσ. 8. 5, 10· ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν ὁ αὐτ. π. Ψυχ. 1. 4, 15, πρβλ. 3. 5, 2: ἰδίως ἐν τῇ Στωϊκῇ φιλοσοφίᾳ, οὐσία ἀσώματος καὶ ἀπαθὴς Πλουτ. 2. 765A· πρβλ. **ἀπάθεια** 2. **III**. ἐνεργ., ὁ μὴ διεγείρων αἴσθημα, ὁ μὴ προξενῶν ἐντύπωσιν, Ἀριστ. Ποιητ. 14.16, τὰ ἀπαθῆ, τὰ μὴ προξενοῦντα ἐντύπωσιν, ὁ αὐτ. Ἀποσπ. 125· τὰ **ἀπαθῆ**, τὰ ἀμετάβατα ῥήματα, Γραμμ.

ἀπαί, ποιητ. ἀντὶ **ἀπό**, ὡς τὰ **διαί**, **παραί**, **ὑπαί**, Ἡσιόδ. Ἀσπ. 409, δ. γρ. ἐν Ἰλ. Λ. 664.

ἀπ-αιγειρόομαι, μεταβάλλομαι, μεταμορφοῦμαι εἰς αἴγειρον, Στράβ. 215.

ἀ-παιδᾰγώγητος, ον, ὁ ἄνευ παιδαγωγοῦ ἢ ὁδηγοῦ, Ἀριστ. Ἠθ. N. 4. 1, 36: ὁ μὴ παιδαγωγηθείς, ἀπαίδευτος, τινὸς ὁ αὐτ. Πολιτ. 8. 4, 6 (δ. γρ. **ἀπαιδάγωγος**).—Ἐπίρρ. **-τως** Κύριλλ.

ἀπαιδευσία, ἡ, ἡ ἔλλειψις παιδεύσεως, κατ' ἀντίθ. πρὸς τὴν **παιδείαν**, Πλάτ. Πολ. 514A, κ. ἀλλ.: μετὰ ἀπαιδευσίας Θουκ. 3. 42· δι' ἀπαιδευσίαν Ἀριστ. Ῥητ. 1. 2, 7· δι' ἀπαιδευσίαν τινὸς ὁ αὐτ. Μεταφ. 3. 3. 5, πρβλ. 3.4, 2· ἀπαιδευσία πλούτου, ἀπειρία περὶ τὰ χρήματα, δηλ. ἐν τῇ διαχειρίσει αὐτῶν, ὁ αὐτ. Ῥητ. 2.16, 4. **2**) ἀμάθεια, ἄγνοια, ἀβελτερία, ἀγροικία, σκαιότης, Πλάτ. Γοργ. 527E, κ. ἀλλ., Αἰσχίν. 18. 36, κτλ. **II**. ἀπαιδευσίᾳ ὀργῆς, ἐλλείψει παιδεύσεως εἰς τὸ κρατεῖν τῆς ὀργῆς, Θουκ. 3. 84.

ἀπαιδευτέω, εἶμαι ἀπαίδευτος, A. B. 501.

ἀπαίδευτος, ον, ὁ μὴ παιδευθείς, παιδεύσωμεν τὸν ἀπαίδευτον Εὐρ. Κύκλ. 492, Πλάτ., κλ.: πιθανώτεροι οἱ ἀπαίδευτοι τῶν πεπαιδευμένων ἐν τοῖς ὄχλοις Ἀριστ. Ῥητ. 2. 22, 3, πρβλ. Εὐρ. Ἱππ. 989: — μ. γεν. πράγμ., ὁ μὴ παιδευθείς, ὁ μὴ ἀσκηθεὶς εἴς τι, τοὺς δὲ ἀπαιδεύτους παντάπασιν ἀρετῆς Ξεν. Κύρ. 3. 3, 55. **2**) ἀμαθής, ἄγροικος, σκαιός, Εὐρ. Κύκλ. 493, Πλάτ. Γοργ. 510B, Φαῖδρ. 269B· ἀπαίδ. βίος Ἀλεξ. ἐν Ἀδήλ. 17· ἀπαίδ. μαρτυρία, χονδροειδεστάτη, Αἰσχίν. 7.12. **II**.

'Επίρρ. -τως Πλάτ. Πολ. 559D· ἀπαιδεύτως ἔχειν Εὐρ. ῎Ιων 247.

ἀπαιδευτό-τροπος, ον, ὁ ἔχων τρόπους ἀπαιδεύτου, ἄγροικος, σκαιός, ἄκομψος, πιθ. γρ. ἐν Διοδ. 'Εκλογ. 600. 42 (ἀντὶ **ἀναπαιδ.**).

ἀπαιδία, ἡ, (ἄπαις) ἀτεκνία, 'Ηρόδ. 6.139, Σοφ. Ο. Τ. 1024, 'Αντιφῶν 121. 4, κτλ.

ἀπ-αιδοιόω, ἐκτέμνω, εὐνουχίζω, ἢ περιτέμνω, Πολυδ. Β',176, καθ' 'Ησύχ. «ἀπαιδοίωται· ἀπηναισχύντηκε· τέτμηται».

ἀ-παιδοτρίβητος, ον, ὁ μὴ διδαχθεὶς ὑπὸ παιδοτρίβου, «ἀγύμναστος» 'Ησύχ., Α. Β. 419. 9.

ἀπ-αιθαλόω, καίω τι ἕως οὗ γείνῃ αἰθάλη ἢ στάκτη, δ. γρ. ἐν Θεοφρ. Αἰτ. Φυτ, 4. 14, 8, καθ' 'Ησύχ. «ἀπηθάλωσεν· ἐξεπύρωσεν ἢ ἀπέσβεσεν».

ἀπαιθερόομαι, καθίσταμαι αἰθέριος, «τὸ πρῶτον αὐτῆς (τῆς ψυχῆς).. λεπτύνεται καὶ ἀπαιθεροῦται» Συνέσ. σ.137Α.

ἀπ-αίθομαι, παθ. φλέγομαι, κεραυνοῖς, οἵ οἱ πρόσθε ποδῶν θαμέες ποτόωντο δι' αἴθρης, δεινὸν ἀπαιθόμενοι Κοΐντ. Σμ. 1. 693.

ἀπ-αιθριάζω, ἐκθέτω εἰς τὸν ἀέρα, ἀδιάνδου δραχμίδα ἐμβαλὼν ἀπαιθριάσας δίδου 'Ιππ. 497. 15. **2**) ἀπ. τὰς νεφέλας ἀπομακρύνω, ἀποδιώκω τὰ νέφη, 'Αριστοφ.῎Ορν.1502. **3**) ἀμετάβ. ἐπὶ ἀτμοσφαιρικῆς καταστάσεως, «ἀνοίγω» γίνομαι αἴθριος, ἀνέφελος, ὥστε ὁπότε ἀπαιθριάσειεν, ὥσπερ ἐκ μακροῦ πλοῦ σεσωσμένοι περιβάλλονται ἀλλήλοις Λιβάν. Ι.343 :— μεταφ. Μ. 'Αντων. 2, 4.

ἀπ-αιθύσσομαι, παθ., ἐπὶ πυρσοῦ ἢ λαμπάδος, ῥίπτω φλόγα κυματοειδῆ, τὰ δὲ ἐφ' ἓν μέρος ἔχοντα κεκλιμένας τὰς ἐπὶ τῆς κορυφῆς κόμας, σχηματισμὸν ἀποτελεῖ λαμπάδος ἀπαιθυσσομένης Διόδ. 2. 53. Τὸ ἐνεργ. ἐν 'Ετυμ. Μ 233. 34, ἀμετάβ. ἐπὶ τῶν ὀφθαλμῶν, ἀστράπτω.

ἄ-παικτος, ον, (παίζω) ὁ μὴ παικτός, ὁ μὴ κατάλληλος εἰς ἀστεϊσμούς, «εἰ μὴ ἑκόντες μεθύομεν καὶ παίζομεν τὰ ἄπαικτα» Εὐστ. ἐν τῇ Nova Coll. Vatic. τ. 7. σ. 285, 6, Β.

ἀπαινέω, οὐκ αἰνῶ, δὲν ἐξυμνῶ, Βασίλ. Σελευκ. σ. 182.

ἀπαίνομαι, διάφ. γραφ. ἀντὶ τοῦ **ἀναίνομαι**, 'Ιλ. Η. 185.

ἀπ-αίνυμαι, ἀποθ. ἀφαιρῶ, τεύχε' ἀπαινύμενον 'Ιλ. Λ.582, Ρ. 85, δρέπω, κόπτω, τῶν ἣ μὲν νάρκισσον εὔπνοον, ἣ δ' ὑάκινθον, ἣ δ' ἕρπυλλον ἀπαίνυτο Μόσχ. 2. 66 :—'Ο ῞Ομ. ἔχει ὡσαύτως **ἀποαίνυμαι** 'Ιλ. Ν. 262, 'Οδ. Μ. 419, Ρ. 322.

ἀπ-αιολάω, περιπλέκω, συγχέω, παραπλανῶ, Εὐρ. ῎Ιων, 549· ἀπ. τινα τῆς ἀληθείας Βάβρ. 95. 99.—'Ο Σχολ. τοῦ 'Αριστοφ. ἔχει **ἀπαιολέω**.

ἀπαιόλη, ἡ, (αἰόλος) «ἀπάτη, ἀποστέρησις» καθ' 'Ησύχ.· τέθνηκεν .. χρημάτων ἀπαιόλῃ Αἰσχύλ. 'Αποσπ. 185. **II**. **'Απαιόλη** ἢ **'Απαιολή**, ἡ ἀπάτη προσωποποιουμένη ἐν 'Αριστοφ. Νεφ. 1150 («'Αριστοφάνης δὲ (ὁ γραμματικὸς) ὀξύνεσθαί φησι τὴν ἐσχάτην, 'Απαιολή», Σχόλ. αὐτόθι).

ἀπαιόλημα, ατος, τό, = τῷ προηγ., Αἰσχύλ. Χο. 1002, Σοφ. 'Αποσπ. 841, 'Αριστοφ. Νεφ. 729 :—ὡσαύτως **ἀπαιόλησις, εως**, ἡ, ἴδε ἀμφοτέρας τὰς λέξ. παρ' 'Ησυχ.

ἀπαιρεθέω, 'Ιων. ὑποτακτ. ἀόρ. α' παθ. καὶ **ἀπαραιρημένος** 'Ιων. μετοχ. παθ. πρκμ. ἐκ τοῦ **ἀφαιρέω**.

ἀπ-αίρω, (πρβλ. **ἀπαείρω**): μέλλ. **ἀπᾰρῶ** : ἀόρ. α' **ἀπῆρα** Εὐρ. : πρκμ. **ἀπῆρκα** Θουκ. 8. 100, Αἰσχίν. 39, 6 : 'Ιων. παρατ. **ἀπαίρεσκον** 'Ηρόδ., Σηκώνω, παίρνω, τὰ ξύλα 'Ηρόδ. 1. 186· ἀπομακρύνω τι ἀπό τινος ἄπαιρε θυγατρὸς φάσγανον Εὐρ. 'Ορ. 1608· Σπάρτης ἀπάρας ὁ αὐτ. 'Ελ. 1671· ἐν Ι. Τ. 967, πιθαν. νὰ σημαίνῃ ἀπαλλάττομαι :—Παθ., ἀπαίρεται τράπεζα 'Αχαιὸς παρ' 'Αθην. 641D. **II**. κινῶ στόλον ἢ στρατὸν τῆς ξηρᾶς, τὰς νέας ἀπὸ Σαλαμῖνος 'Ηρόδ. 8. 57· οὕτω, μελάθρων ἀπ. πόδα Εὐρ. 'Ηλ. 774. ἀπ. τινὰ ἐκ χθονὸς ὁ αὐτ. 'Ελ. 1520. **2**) ἐλλειπτικῶς (ἐξυπακουομ. ναῦς, στρατός, κτλ.), ἀποπλέω, ἀπέρχομαι, ἀναχωρῶ, ἀπαίρειν ἀπὸ Σαλαμῖνος 'Ηρόδ. 8. 60· συχν. παρὰ Θουκ., Ξεν. κτλ.: ὡσαύτως μετὰ γεν., ἀπαίρειν χθονός, ἀναχωρῶ ἐκ τῆς χώρας, Εὐρ. Κύκλ. 131· Σπάρτης ἀπῆρας νηῒ Κρησίαν χθόνα ὁ αὐτ. Τρῳ. 944· μετὰ συστοίχ. αἰτιατ. ἀπ. πρεσβείαν, ἐκκινῶ διὰ πρεσβείαν, ἀποστολήν, Δημ. 392. 14, πρβλ. **ἀπάγω**.

ἄ-παις, ἄπαιδος, ὁ, ἡ, ὁ ἄνευ παιδός, ἄτεκνος, 'Ηρόδ. 6.38, Σοφ. 'Αποσπ. 5· τὰς ἄπαιδας οὐσίας, ἴσως, περιουσίας ἄνευ κληρονόμου, ὁ αὐτ. Τρ. 911 (εἰ ὁ στίχος γνήσιος) :— Συχνάκις μετὰ γεν. ἄπ. ἔρσενος γόνου, ἄνευ ἀρρένων κληρονόμων, 'Ηρόδ. 1. 109, πρβλ. 5. 48· ἄπ. ἔρσενος καὶ θήλεος γόνου ὁ αὐτ. 3. 66· τάλαιναν, τέκνων ἄπαιδα Εὐρ. 'Ικ. 810· ἄπ. ἀρρένων παίδων 'Ανδοκ. 15. 36, Ξεν. Κύρ. 4. 6, 2· ἀρρένων τε καὶ θηλειῶν Πλάτ. Νόμ. 925C. **II**. Νυκτὸς παῖδες ἄπαιδες, τέκνα τῆς Νυκτὸς καὶ ὅμως οὐδόλως τέκνα, Αἰσχύλ. Εὐμ. 1034, πρβλ. 69.

ἀπ-αίσιος, ον, ὁ δυσοίωνος, Λατ. inauspicatus, ὕαινα 'Oππ. 'Αλ. 372· ἡμέρα Λουκ. Ψευδολ. 12.—'Επίρρ.-ως Γαλην.

ἀπ-αΐσσω, 'Αττ.-ᾴσσω : μέλλ.-ξω : — ἀποπηδῶ ἀπὸ ὕψους, κρημνοῦ ἀπαΐξας 'Ιλ. Φ. 234. **II**. ἀποπηδῶ, πηδῶ, τινάσσομαι καὶ φεύγω, ὁπόταν μὲν ἀπαΐξῃ τέρεν αἷμα 'Εμπεδ. 348· τοῦ δ' ἐγὼ κλύων ἀπῆξα Σοφ. Τρ. 190· ἀπῆξε πέμφιξ, διερράγη, ἔσκασεν, ὁ αὐτ. 'Απόσπ. 319· φρένες .. γνώμης ἀπῆξαν ὁ αὐτ. Αἴ. 448· ἀπῇξας ἐκ διορθώσεως ἀντὶ τοῦ ἀπῆξας ἐν 'Αριστοφ. Βατρ. 468· [**ἀπᾱ-**, ῞Ομ. ἐν ἄρσει, πρβλ. **ἀΐσσω**].

ἀπ-αισχύνομαι, ἀποθ. συστέλλομαι ἐξ αἰσχύνης, ἀποσύρομαι ἐντρεπόμενος, ἀρνοῦμαι ἕνεκα ἐντροπῆς, Πλάτ. Γοργ. 494C· πρβλ. **ἀποδειλιάω**.

ἀπ-αισχυντέω, = τῷ προηγ., οἱ ἐρῶντες ἁλισκόμενοι ἀπαισχυντοῦσιν 'Ηλιόδ. 8. 5 (μετὰ διαφ. γραφ. **ἐπαναισχ-** ἢ **ἀπαναισχ-**).

ἀπ-αιτέω : μέλλ.-ήσω :—ἀπαιτῶ, ἀπαιτῶ νά μοι ἐπιστραφῇ τι, ἰδίως ἐπὶ πραγμάτων, εἰλημμένων διὰ τῆς βίας, ἢ δικαίως ἀνηκόντων ἐμοί, 'Ηρόδ.1.2, 3, 'Ανδοκ. 22. 29· τὸ μισθάριον γάρ.. ἂν ἀπαιτῆς Δίφιλ. ἐν «Ζωγράφῳ» 2. 34 : — ἀπ. τινά τι, ἀπαιτῶ τι παρά τινος, 'Ηρόδ. 8. 122, Εὐρ. 'Ελ. 963, 'Αριστοφ. ῎Ορν. 554· ὡσαύτως, ἀπ. ὅπλα τοῦ πατρὸς Σοφ. Φ. 362· χάριν ἀπ. τινα Πλάτ. Φαῖδρ. 241Α, Δημ., κτλ.· τι παρά τινος 'Αριστ. Περὶ ψυχ. 1. 4, 6· ὡσαύτως, ἀπ. δίκην ἔκ τινος Αἰσχύλ. Χο. 398· λόγον ἀπ. τινα περί τινος Πλάτ. Πολ. 599Β· ὑπέρ τινος αὐτόθι 612D· ἀπ. ὑπόσχεσιν 'Αριστ. 'Ηθ. Ν. 9. 1, 4· μετ' ἀπαρ. ἀπ. τινα ποιεῖν τι Εὐρ. 'Ικ. 385. **II**. παθ., ἐπὶ πραγμάτων, ἀπαιτοῦμαι, ἅμα δὲ ἐπίεζέ μιν ἡ δαπάνη τῆς στρατιῆς ἀπαιτεομένη 'Ηρόδ. 5. 35. **2**) ἐπὶ προσώπων, τὸ δ' ἐμὲ μὲν μηδ' ὑφ' ἑνὸς ἀπαιτεῖσθαι εὐεργεσίαν Ξεν. 'Απολ. 17· ἀπ. τὸ τέλος Συλλ. 'Επιγρ. 1988. 8 : ὑποχωρῶ, ἐνδίδω εἰς ἀπαίτησιν, οὐκ ἀπαιτούμεθα, «οὐ χρεωστοῦμεν» (Σχόλ.), εἰς ἀπάντησιν πρὸς τὸ ἀπαιτῶ σκῆπτρα, Εὐρ. Φοίν. 602.

ἀπαίτημα, ατος, τό, ἀπαίτησις, Μ. 'Αντων. 5. 15.

ἀπαίτησις, εως, ἡ, τὸ ἀπαιτεῖν τὸ ὀφειλόμενον, τὸ νὰ ζητῇ τις νὰ λάβῃ τι ὀπίσω, 'Ηρόδ. 5. 85· 'Ελένης ἀπ. ὄνομα ἀπολεσθέντος δράματος τοῦ Σοφοκλ.· ἀπ. ποιεῖσθαι, ποιοῦμαι ἀπαίτησιν πρὶν ἢ προβῶ διὰ τῆς δικαστικῆς ὁδοῦ, Δημ. 901. 1.: — ἀπαίτησις, ἀξίωσις, δικαίωμα ἀπαιτήσεως, τινος ἀπό τινος Συλλ. 'Επιγρ. 1732 β. 25.

ἀπαιτητέον, ῥημ. ἐπίθ. δεῖ ἀπαιτεῖν, οὐκ ἀπαιτητέον οὐδὲ τὴν αἰτίαν ἐν ἅπασιν ὁμοίως 'Αριστ. 'Ηθ. Ν. 1. 7, 20. **2**) **-τέος, α, ον**, ὃν πρέπει τις νὰ ἀπαιτήσῃ, ὅτι κατὰ τὴν ὕλην οἱ λόγοι ἀπαιτητέοι αὐτόθι 2. 2, 3.

ἀπαιτητής, οῦ, ὁ, φορολόγος, εἰσπράκτωρ, Γρηγ. Νύσσ. τ. 2. σ. 237Β.

ἀπαιτητικός, ή, όν, ὁ ἔχων παραλόγους ἀπαιτήσεις, «τοιοῦτον γὰρ τὸ σὸν βλάσφημον καὶ ἀπαιτητικὸν» Εὐστ. Πονημάτ. 136. 49.

ἀπαιτίζω: μέλλ. **-ίσω**, = **ἀπαιτέω**, ζητῶ ὀπίσω, ἰδίως ἐπὶ πραγμάτων διὰ τῆς βίας ἀφαιρεθέντων, χρήματα 'Οδ. Β. 78· πρβλ. Καλλ. 'Αποσπ. 178, Νόνν. Δ. 42. 382.

ἀ-παίων, ωνος, ὁ, ἡ, ἄνευ παιᾶνος, ἄνευ εὐθυμίας, ἀκτὰς ἀπαίωνας .. 'Αχέροντος Σοφ. 'Αποσπ. 469.

ἀπαιώνιστον· «δύσφημον· Εὐριπίδης 'Αλκμέωνι (τῷ) διὰ Κορίνθου» (Εὐρ. 'Αποσπ. 78).

ἀπαιωρέομαι, παθ. κρέμαμαι πρὸς τὰ κάτω ἀπό τινος μέρους, δράκοντε δοιὼ ἀπῃωρεῦντο, ἀπεκρέμαντο, 'Ησ. 'Αποσπ. 234· ἔνθεν δὲ καὶ ἔνθεν ἀπαιωρέεται ἡ χείρ, κρέμαται ἄνευ ὑποστηρίγματος καθ' ἑκατέραν ἄκραν, ἐπὶ χειρὸς παθούσης κάταγμα, 'Ιππ. π. 'Αγμ. 756, πρβλ. π. ῎Αρθρ. 829· ἀπ. τινος ἢ τινι κρέμαμαι ἀπό τινος, 'Αριστ. π. Φυτ. 1. 4, 1., 1. 6, 8. **III**. μεταγεν. ὡς ἐνεργ. **ἀπαιωρέω**, ἀφίνω τι νὰ κρέμαται πρὸς τὰ κάτω, πλοκάμους ἄκρας τῆς κεφαλῆς ἄχρι στέρνων αὐτῶν ἀπαιωρῶν 'Αλκίφρων 3. 55· κρεμῶ, Κλήμ. 'Αλ. 262.

ἀπαιώρημα, ατος, τό, χειρουργικὴ ταινία κρεμαμένη ἐκ τοῦ λαιμοῦ ἢ ἐξ ἄλλου μέρους ὅπως βαστάζῃ μέλος τοῦ σώματος τεθλασμένον, ἀρτάνη, 'Ιππ. 771Η :— **ἀπαιώρησις, εως**, ἡ, τὸ κρέμασμα, κρασπέδων Κλήμ. 'Αλ. 238.

ἀπακμάζω, παρακμάζω, «ἀλλὰ οἱ πολλοὶ πολυγήρως ἀπακμάζουσι καὶ τῷ νῷ καὶ δὶς παῖδες οἱ γέροντες γίνονται» Στοβ. 536.48.

ἀπακμή, ἡ, παρακμή, Λογγῖν 9. 30.

ἀπακονάομαι, παθ. ἀκονῶμαι, 'Ιωσήπ. 'Αρ. 1. 6, 6.

ἀπᾰκοντίζω : μέλλ. 'Αττ.-ιῶ : — ῥίπτω ὡς ἀκόντιον, ἐξακοντίζω, τὰς ἀποφυάδας 'Αριστ. 'Ιστ. Ζ. 2. 1, 53· ἐκπέμπω, ἐκτοξεύω, μαρμαρυγὴν Νόνν. Δ. 40. 414.

ἀπακριβόομαι, παθ., γίνομαι (ὑπό τινος) μετὰ πολλῆς ἀκριβείας καὶ τελειότητος, πρὸς κάλλος Πλάτ. Νόμ. 810Β· λόγος ἀπηκριβωμένος ὁ αὐτ. Τίμ. 29C, 'Ισοκρ. 43Α, πρβλ. Πλάτ. Φίλ. 59D· παιδεία 'Ισοκρ. π. 'Αντιδ. § 190· ἐν τοῖς μάλιστ' ἀπηκριβωμένοις, τοῖς τελειοτάτοις, 'Αριστ. π. Ζ. Μορ. 3. 4, 15· ἐπὶ προσώπων ἀπηκριβωμένος ἐπί τινι, γινώσκων τι μετ' ἀκριβείας, 'Ισοκρ. 238D, πρβλ. **ἀπηκριβωμένως**. **II**. ἐν μέσ. τύπῳ, ἀποτελειώνω, καθιστῶ τέλειον ἔργον τι, ἐπὶ γλυπτικῆς, 'Ανθ. Πλαν. 172, 342· ἀπ. ταῖς γραμμαῖς Λουκ. Εἰκ. 16.

ἀπακταίνω, «ἀπακταίνων· ὁ κινεῖσθαι μὴ δυνάμενος» 'Ησύχ. **II**. μεταβ. κουράζω τινὰ διὰ βιαίας ἀσκήσεως, ὡς πρέπει νὰ ἀναγνωσθῇ ἐν Πλάτ. Νόμ. 772C, πρβλ. Ρουγκίου Τίμ. ἐν λέξ. **ἀκταίνειν**.

ἀπακτέον, ῥημ. ἐπίθ. τοῦ **ἀπάγω**, δεῖ ἀπάγειν, τινά τινος Πλούτ. 2. 9F.

ἀπακτός, όν, ὁ δυνάμενος νὰ ἀπαχθῇ εἰς φυλακήν, Ἀρρ. Ἐπίκτ. 3. 24, 105 (ὡς ὁ Schweig. ἀντὶ **ἀπότακτος**).

ἀ-πάλαιστος, ον, ὃν δὲν δύναταί τις νὰ καταβάλῃ ἐν τῇ πάλῃ, ἀνίκητος, Πινδ. Ν. 4. 154· ἴδε τὸ ἑπόμ.

ἀ-πάλαιστρος, ον, ὁ μὴ γεγυμνασμένος ἐν τῇ παλαίστρᾳ, ἀνεπιτήδειος εἰς τὴν πάλην, Ἀνθ. Π. 12. 222· κατ' ἀντίθεσιν πρὸς τὴν φράσιν: οἱ μετέχοντες τοῦ γυμνασίου Συλλογ. Ἐπιγρ. 3086, πρβλ. 3085. **2)** ἐν γένει, ἀδέξιος, ἄγροικος, Κικ. Βροῦτ. 68, Κυντιλ. 9. 4, Ἡσύχ. ἐν λ. **Κυπρία πάλη**. **II.** οὐχὶ συνήθης ἐν τῇ παλαίστρᾳ, ἐναντίος τῶν κανόνων αὐτῆς, Ἀνθ. Π. 5. 214.— ὁ Ἰακώψ. προτιμᾷ πανταχοῦ ἐν τῇ Ἀνθολογ. τὴν γραφὴν **ἀπάλαιστος** (ὅρα Ἰακώψ. εἰς Ἀνθολογίαν σ. 101).

ἀ-παλαίωτος, ον, ὁ μὴ παλαιούμενος, μὴ φθειρόμενος, Ἡσύχ. ἐν λέξει **ἀγήραον**.

ἀπάλαλκε, γ' ἑν. εὐκτ. ἀορ. β', **ἀπαλάλκοι**, (ἄνευ ἐνεστῶτος ἐν χρήσει, ἴδε **ἄλαλκε** καὶ πρβλ. **ἀπαλέξω**): — ἀποδιώκω, ἀπωθῶ τινα ἀπό τινος, ἀπομακρύνω, τί τινος:— ὡς οὐκ ἔσθ' ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι «οὐ γάρ ἐστιν ὅστις ἀποσοβήσειε καὶ ἀποδιώξειε τῆς σῆς γε κεφαλῆς τοὺς κύνας» (μετάφρ. Γαζῆ), Ἰλ. Χ. 348, πρβλ. Ὀδ. Δ. 766· νόσους Πινδ. Ο. 8. 112: Ὁ Θεόκρ. 28. 20 ἔχει ἀπαρέμφ. **ἀπαλαλκέμεν**.

ἀ-πάλαμνος, ον, ποιητ. ἀντὶ **ἀπάλαμος** (πρβλ. **παλαμναῖος** ἐκ τοῦ **παλάμη**, **νώνυμνος** ἐκ τοῦ **νώνυμος**): — κυρίως ἄνευ χειρῶν, ὅ ἐ. ἀνίκανος, πρὸς οὐδὲν χρήσιμος, ἄχρηστος, «μηδὲν μηχανᾶσθαι δυνάμενος» (Σχόλ.)· ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος κτλ. Ἰλ. Ε. 597, πρβλ. Σιμων. 8. 11:—Ἐπίρρ. **-νως** Α. Β. 418.—Ὁ Θεόδ. Πρόδρ. ἔχει ὑπερθ. **-έστατος**, ὡς εἰ ἐκ τύπου **ἀπα-λαμνής**. **2)** ἐν λυρ. καὶ ἐλεγ. ποιηταῖς, ἀμήχανος, θρασύς, παράβολος, ἀνόσιος, ὑβριστικός, ἐπὶ προσώπων, Πινδ. Ο. 2. 105· ἐπὶ πράξεων, ἔρδειν ἔργ' ἀπ. Σόλων 14· ἀπάλαμνα μυθεῖσθαι Θέογν. 481· ἀνελέσθαι ὁ αὐτ. 281· οὕτως, ἀπ. τι πάσχειν Εὐρ. Κύκλ. 598.

ἀ-πάλᾰμος, ον, (παλάμη) ὡς τὸ **ἀπάλαμνος**, ἀνίκανος, Ἡσ. Ἔργ. κ. Ἡμ. 20· ἀμήχανος, βίος ἀπ., ἐπὶ τοῦ Ταντάλου, Πινδ. Ο. 9. 95. (ᾱπ- χάριν τοῦ μέτρου ἐν Ἡσ. ἔνθ' ἀνωτ.]

ἀπᾰλάομαι, παθ., ἀποπλανῶμαι, παρεκβαίνω τῆς εὐθείας ὁδοῦ, αὐτὸς δ' ἀπαλήσεται ἄλλῃ Ἡσ. Ἀσπ. 409.

ἀπαλαστέω, (ἄλαστος) σχετλιάζω, «ἀπαλαστήσασα, σχετλιάσασα» Ἡσύχ.

ἀπαλγέω, παύομαι τοῦ ἀλγεῖν, ἀπαλγήσαντας δὲ τὰ ἴδια τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι, παυσαμένους ἀλγεῖν κτλ., Θουκ. 2. 61· ἀπ. τὸ πένθος, ἀφίνω τὴν λύπην, Πλουτ. Κλεομ. 22. ὡς τὸ **ἀπολοφύρομαι**. **II.** ἐν γένει εἶμαι ἀπαθής, ἀδιάφορος, ἀναισθήτως ἔχω πρός τι, ἀπαλγοῦντες ταῖς ἐλπίσιν Πολύβ. 9. 40, 4· πρὸς ἐλπίδα Δίων Κ. 48. 37: ἀπολ., Πολύβ. 1. 35, 5, κτλ.

ἀπάλγησις, εως, ἡ, ἡ παῦσις τοῦ ἄλγους, τὸ μὴ αἰσθάνεσθαι πλέον ἄλγος, Ἡλιόδ. 6. 5.

ἀπαλείφω: μέλλ. **-ψω**: πρκμ. **ἀπαλήλιφα** Δημ. 1243. 29:— ἐξαλείφω, ἰδίως ἀπὸ ἐπισήμου καταλόγου ἢ γραμματείου, τότ' οὖν αὐτὸν ἔδει ταῦτ' ἀπαλείφειν κελεύειν ὁ αὐτ. 1115. 5· ἀπ. τινὰ ἀπὸ ὀφλήματος, ἀπαλλάσσειν, ὁ αὐτ. 1338. 8· ἀπ. τι, ἐξαλείφειν, διαγράφειν, Αἰσχίν. 49, 36· ἀπ. ἀπὸ τῶν παρακαταθηκῶν, ὑφαιρεῖσθαι, κλέπτειν μέρος τῶν παρακατατεθειμένων, Δημ. 1243. 17, πρβλ. 29.—Ἐντεῦθεν ῥημ. ἐπίθ. **ἀπαλειπτέον**, πρέπει τις νὰ ἐξαλείψῃ, νὰ διαγράψῃ, Μ. Ἀντων. 11. 19·— καὶ ἐπίθ. **-πτικός**, ή, όν, ἐξαλειπτικός, Ἐκκλ: **-ψις**, εως, ἡ, ἐξάλειψις, Ἀθανάσ.

ἀπαλέξαι, **ἀπαλέξασθαι**, ἴδε ἐν λ. **ἀπαλέξω**.

ἀπᾰλέξησις, ἡ, ὑπεράσπισις, πρὸς ἀπαλέξησιν κρυμῶν ὑπερβολῆς Κλήμ. Ἀλ. 224· «πρὸς ἀπαλέξησιν, πρὸς βοήθειαν» Φώτ.

ἀπαλεξητικός, ή, όν, ὁ ἀμυντικὴν ἔχων δύναμιν, ὁ ἀποκρούων, Ἐτυμ. Μ. σ. 56. 10.

ἀπᾰλεξί-κακος, ον, = **ἀλεξίκακος**, Ὀρφ. Ὕ. 67.

ἀπᾰλέξω, : μέλλ. **-ξήσω**, ἀπομακρύνω, ἀπωθῶ ἀπό τινος, μετὰ αἰτ. πράγμ. καὶ γεν. προσώπ., καὶ δέ κεν ἄλλον σεῦ ἀπαλεξήσαιμι Ἰλ. Ω. 371· οὕτω, μετὰ δοτ. προσ., Ζεὺς.. μοι ἀπαλέξαι γάμον, εἴθε νὰ ἀπομακρύνῃ, νὰ ἀποτρέψῃ ἀπ' ἐμοῦ, Αἰσχύλ. Ἱκ. 1053. **2)** τἀνάπαλιν, μετ' αἰτ. προσώπ. καὶ γεν. πράγματος ὡς τὸ Λατ. defendere aliquem ab aliqua re, οὐδ' ὥς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος Ὀδ. Ρ. 364. **II.** Μέσ., ὑπερασπίζω ἐμαυτόν, πρὸς ταῦτ' ἀπαλέξασθαι Σοφ. Αἴ. 166· πρβλ. Ἀποσπ. 286, Νικ. Θ. 829. Ἴδε **ἀπάλαλκε**.

ἀπᾰλεύομαι, ἀποθ., μένω μακρὰν ἀπό τινος, ἀποφεύγω, διάφορος γραφ. ἐν Νικ. Θ. 395, ἐν τμήσει, ἔνθα νῦν γράφεται ἀπὸ δίψος ἀλέξεται ἀντὶ τοῦ ἀλεύεται, «ἐκκλίνει καὶ ἰᾶται τὴν δίψαν αὐτῆς» (Σχόλ.).

ἀπᾰληθεύω, λέγω πᾶσαν τὴν ἀλήθειαν, πρός τινα Ξεν. Οἰκ. 3. 12. ἐν μέσ. τύπ. **II.** ἀπαληθεύω, ἐξευρίσκω τὴν ἀλήθειαν, ἐκφαίνω τὴν ἀλήθειαν, Σουΐδ.

ἀπαλθαίνομαι: μέλλ. **-ήσομαι**: ἀποθ.:—ἰῶμαι, θεραπεύω ἐντελῶς, ἕλκε' ἀπαλθήσεσθον (-εσθαι, Ἀρίσταρχ.) Ἰλ. Θ. 419· παρατ. παρὰ Κοΐντ. Σμ. 4. 404.

ἀπάλθομαι, = **ἀπαλθαίνομαι**, ὃ ἴδε.

ἀπᾰλία, ἡ, (ἁπαλὸς) ἁπαλότης, μαλακότης, τοῦ ἀέρος Γεωπ. 1. 8, 2.

ἀπαλίας, ου, ὁ, ἔριφος γαλαθηνός. Περὶ Πυθαγόρου ἀναφέρεται ὅτι ἐν ταῖς θυσίας ἐχρῆτο «ἀλέκτορσι μόνον καὶ ἐρίφοις γαλαθηνοῖς τοῖς λεγομένοις ἀπαλίαις» Διογ. Λ. 8. 20.

ἀπαλλᾰγή, ἡ, (ἀπαλλάσσω) ἀπελευθέρωσις, «γλυτωμὸς» ἀπό τινος, πόνων, πημάτων, ξυμφορᾶς Αἰσχύλ. Ἀγ. 1. 20, Πρ. 754, Σοφ. Ἀντ. 1338, κτλ.· οὕτω κατὰ πληθ. Αἰσχύλ. Πρ. 316, Εὐρ. Ἡρακλ. 811· ἀπ. πραγμάτων Ἀντιφῶν 145. 30· ἀπ. τοῦ πολέμου Θουκ. 7. 2· τοῦ πολέμου οὐκ ἦν πέρας οὐδ' ἀπ. Δημ. 275. 29· ἐπὶ ὑποθέσεων, ἀπ. συμβολαίων ὁ αὐτ. 893. 13· ἐν γένει, διακοπή, τινος Ἀριστ. Ἱστ. 7. 2, 3. **2)** ἀπολ. διαζύγιον, Εὐρ. Μήδ. 236. 1375. **II.** μετατόπισις, ἀπαλλαγὴν ὄνομα ἀποικίαν τιθέμενος Πλάτ. Νόμ. 736Α. **III.** (ἐκ τοῦ παθ.) τὸ ἀπέρχεσθαι, μέσον πρὸς ἀναχώρησιν, διαφυγή, ὑποχώρησις. Ἡρόδ. 1. 12, 7, κ. ἀλλ.· τέλος τῆς ἀπαλλαγῆς, ἡ τελευταία ἀναχώρησις, ὁ αὐτ. 2. 139· ἡ ἀπ. ἐγένετο ἀλλήλων, χωρισμὸς τῶν διαμαχομένων, Θουκ. 1. 51. **2)** ἀπ. τοῦ βίου, ἡ ἀπὸ τῆς ζωῆς ἀποδημία Ἱππ. 1234Α, Ξεν. Κύρ. 5. 1, 13· ψυχῆς ἀπὸ σώματος Πλάτ. Φαίδων 64C. Ἐντεῦθεν, **ἀπαλλαγή**, θάνατος, Θεοφρ. Ἱστ. Φ. 9. 8, 3, κτλ.

ἀπαλλακτέον, ῥηματ. ἐπίθ. τοῦ **ἀπαλλάσσω**, πρέπει τις νὰ ἀπαλλάξῃ τινά τινος Πλουτ. Κορ. 32. **2)** πρέπει τις νὰ «ξεκάμῃ» ἀπὸ κἄτι, ἀπαλλακτέον ἡμῖν καὶ ταῦτα τὰ σώματα ἐκποδὼν Διον. Ἀλ. 6. 51. **II.** (ἐκ τοῦ παθ.) πρέπει τις νὰ ἀποχωρήσῃ, ν' ἀπαλλαχθῇ, τινὸς Λυσ. 104. 4, Πλάτ. Φαίδων 66D.

ἀπαλλακτής, οῦ, ὁ, ὁ ἐλευθερωτὴς ἀπό τινος, κακοῦ Μάξ. Τύρ. 13. 5.

ἀπαλλακτιάω, = **ἀπαλλαξείω** Μ. Ἀντων. 10. 36.

ἀπαλλακτικός, ή, όν, κατάλληλος, ἱκανὸς ὅπως ἀπαλλάξῃ ἀπὸ .., τινος Διοσκ. 3. 83: —Ἐπίρρ. ἀπαλλακτικῶς ἔχειν = ἀπαλλαξείειν Διον. Ἀλ. περὶ Ῥητ. 11. 8. **1)** κατάλληλος πρὸς θεραπείαν νόσων, Ἀριστ. Προβλ. 31. 23.

ἀπαλλαξείω, ἐφετ. τοῦ **ἀπαλλάσσομαι**, ἐπιθυμῶ νὰ ἐλευθερωθῶ, νὰ ἀπομακρυνθῶ ἀπό τινος, νὰ ἀπαλλαχθῶ, τινος Θουκ. 1. 95, 3. 84.

ἀπάλλαξις, εως, ἡ, = **ἀπαλλαγή**, Ἡρόδ. 9. 13, Ἱππ. 48. 11.

ἀπαλλάσσω, Ἀττ. **-ττω**: μέλλ. **-ξω**, Ἰσοκρ. 92Ε: πρκμ. **ἀπήλλᾰχα** Ξεν. Ἀπομν. 3. 13, 6: ἀόρ. **ἀπήλλαξα** Ἡρόδ. καὶ Ἀττ. πεζογράφοι: — Παθ. πρκμ. **ἀπήλλαγμαι** Ἀριστοφ. Εἰρ. 1128, Ἰσοκρ., Ἰων. **ἀπάλλαγμαι** Ἡρόδ. 2. 144, 167: — ἀόρ. **ἀπηλλάχθην**, Ἰων. **ἀπαλλ-**, ὁ αὐτ. 2. 152, Τραγ.· παρ' Ἀττ. **ἀπηλλάγην** [ᾰ] ὡς πάντοτε παρὰ πεζοῖς· ὡσαύτως παρὰ Τραγ. (ὡς ἐπὶ τὸ πλεῖστον χάριν τοῦ μέτρου, πρβλ. ὅμως Σοφ. Ἀντ. 422, Ἠλ. 782), Πόρσ. Φοίν. 986: μέλλ. **ἀπαλλαχθήσομαι** Εὐρ. Ἱππ. 356, Ἀριστοφ., παρὰ πεζοῖς **ἀπαλλαγήσομαι** Θουκ. 4. 28, κτλ.: — Μέσ. μέλλ. (μετὰ παθ. σημ.) **ἀπαλλάξομαι** Ἡρόδ. 7. 122, Εὐρ. Ἑλ. 437, Θουκ. κτλ.: ἀόρ. **ἀπηλλάξαντο** Εὐρ. Ἡρακλ. 317, πρβλ. Πλουτ. Κάτωνα νεώτερ. 64.

Α. ἐλευθερῶ, ἀπαλλάσσω τινὰ ἀπό τινος πράγματος, παιδίον δυσμορφίης Ἡρόδ. 6. 61· τινά πόνων, πημονῆς, κακῶν, φόβου, κτλ., Αἰσχύλ. Πρ. 773. 471 κτλ.· τινά ἐκ γόων Σοφ. Ἠλ. 292· ἐκ φόβου Ἀνδοκ. 8. 39· μετ' αἰτ. μόνον, ἀπελευθερῶ, ἀπολύω, Σοφ. Ἀντ. 597, κτλ.· κόπος μ' ἀπ. ὁ αὐτ. Φ. 880· ἀπαλλάττω, ἀνακουφίζω, ἀπὸ χρέους ἢ ὑποχρεώσεως, κάμνω χάριν εἴς τινα, Δημ. 952. 16. **2)** ἀπομακρύνω ἀπό τινος, μετακινῶ μακράν τινος, τί τινος, ὡς ἀπ. γῆς πρόσωπον, φρενῶν ἔρωτα Εὐρ. Μήδ. 27, Ἱππ. 774· σφαγῆς χεῖρα Ι. Τ. 994· χρυσὸν χερὸς Ἑκ. 1222· ἀπ. τινά τινος, ἀφαιρῶ, ἀπομακρύνω ἀπό τινος, Ἀριστοφ. Ἐκκλ. 1046· τινά ἀπό τινος Δίων Κ. 43. 32. **3)** μετ' αἰτ. μόνον, ἀπομακρύνω τι, μετακινῶ, τι Εὐρ. Ἑκ. 1068, Πλάτ. κτλ.· μύθοις ἔργ' ἀπ. κακά, ἀπομακρύνω τὰ κακὰ διὰ λόγου, ὁ αὐτ. Ἀποσπ. 284. 26: — ὡσαύτως, ἀπελευθεροῦμαι, ἀπαλλάσσομαι τῶν δανειστῶν, Ἀνδοκ. 16. 16, Ἰσαῖ. 53. 36, Δημ. 914. 4· ἀπαλλάσσομαι διὰ δικαίων ἢ ἀδίκων μέσων ἀπὸ ἀντιπάλου, ὁ αὐτ. 711. 25., 712. 1· ἀπ. τοὺς κατηγόρους Λυσ. 181. 25· ἀπολύω, ἀποπέμπω, τινὰ Θουκ. 1. 90· μεταθέτω, ἀπολύω ἀπὸ ὑπουργήματος, αὐτόθι 129: ὡσαύτως, ἐξαφανίζω, καταστρέφω, Θεοφρ. Ἱστ. Φ. 9. 15, 2· ἑαυτὸν Πλουτ. Κάτων νεώτ. 70. **6)** ἀποσύρω κατηγορίαν, Δημ. 952. 11., 966. 3· ἴδε ἑρμηνευτὰς τῶν χωρίων τούτων:— πληρώνω χρέος, Δίων Κ. 59. 1, κτλ.· οὕτως ἐν τῷ παθ., ὁ αὐτ. 51. 17. **II.** ἀμεταβ., ἐκφεύγω, διαφεύγω, ἰδίως μετὰ προσθήκης ἐπιρρήματος, ῥηϊδίως Ἱππ. π. Ἀρχ. Ἰητρ. 11· πρβλ. Ξεν. Κύρ. 4. 1, 5· ὁ στόλος οὕτως ἀπ., ἐγένετο, ἐτελείωσεν, Ἡρόδ. 5. 63, πρβλ. Αἰσχύλ. Ἀγ. 1288, Εὐρ. Μήδ. 786· οὐκ ὡς ἤθελε ἀπήλλαξε Ἡρόδ. 1. 16· κακῶς ἀπ. Πλάτ. Πολ. 491D· καταγελάστως ἀπ. Αἰσχίν. 33. 17· οὕτω μετὰ μετοχ. ἢ ἐπιθ., χαίρων ἀπ. Ἡρόδ. 3. 69· ἀθῷος ἀπ. Ἀριστοφ. Πλ. 271, Πλάτ. Σοφ. 254D, κτλ.: — μετὰ γεν.,

ἀπέρχομαι, τοῦ βίου Εὐρ. Ἑλ. 302, πρβλ. Πλάτ. Ἀξ. 267 (οὕτω, πῶς ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ Ξεν. Ἀπομν. 3. 13, 6· ἄριστ' ἀπαλλάττεις ἐπὶ τούτου τοῦ κύβου, ὡς πρὸς .., Δίφιλ. ἐν «Συνωρίδι» 1: ἴδε κατωτέρ. II 2.)

B. Παθ. καὶ μέσ., ἐλευθεροῦμαι ἢ ἀπαλλάσσομαι ἀπό τινος πράγματος, «γλυτώνω», ἀπαλλαχθέντας δουλοσύνης Ἡρόδ. 1. 170· τυράννων ὁ αὐτ. 5. 78· τῶν παρεόντων κακῶν ὁ αὐτ. 2. 120· πημονῆς Αἰσχύλ. Πρ. 471· φόβου Σοφ. Ἠλ. 783· πραγμάτων τε καὶ μαχῶν Ἀριστοφ. Εἰρ. 293· στρατιᾶς Ἀριστοφ. Ἀχ. 251· Κλέωνος Θουκ. 4. 28· κακῶν τῆσδε χθονὸς Σοφ. Ο. Κ. 786, κτλ. **2)** ἐκφεύγω, ὡς ἐπὶ τὸ πλεῖστον τῇ προσθήκῃ ἐπιθέτου τινὸς ἢ ἐπιρρήματος (ὡς ἐν τῷ ἐνεργ. II.), ἀγῶνος ἀπ. καλῶς Εὐρ. Ἡρακλ. 346· ἀζήμιος ἀπ. Ἀριστοφ. Πλ. 271· καὶ συχν. παρὰ Πλάτ. **3)** ἀπολ., ἀπελευθεροῦμαι, ἀθῳοῦμαι, Δημ. 605. 17. **4)** ἐπὶ ζητήματος ὑπὸ συζήτησιν, λαμβάνω τέλος, τοῦτο ἀπήλλακται, μὴ .. τὸ φίλον φίλον εἶναι, τοῦτο τὸ ζήτημα ἔλαβε τέλος, Πλάτ. Λύσ. 220Β· πρβλ. Φίληβ. 67Α. **II.** ἀπέρχομαι, ἀναχωρῶ ἔκ τινος, ἐξέρχομαι, ἐκ χώρης, ἐκ γῆς Ἡρόδ. 1. 61., 2. 139, κτλ.· μαντικῶν μυχῶν Αἰσχύλ. Εὐμ. 180· ὡσαύτως, γῆς ἀπαλλάσσεσθαι πόδα Εὐρ. Μήδ. 729 (πρβλ. βαίνειν πόδα, βαίνω Α. II. 4)· ἀπ. παρά τινος Αἰσχίν. 8. 20: — ἀναχωρῶ, ἀπέρχομαι, ἐς τὴν ἑωυτοῦ Ἡροδ. 1. 82. κ. ἀλλ.· ἐπὶ τῆς ἑωυτοῦ ὁ αὐτ. 9. 11, πρβλ. 5. 64· πρὸς χώραν Πλάτ. Νόμ. 938Α· ἐπὶ τόπον Πολύβ. 5. 15, 6· ἀπολ., Ἡρόδ. 2. 93, κ. ἀλλ.: — Ἐντεῦθεν ἐν πολλαῖς σχέσεσιν, ὡς: **2)** ἀπαλλάσσεσθαι τοῦ βίου, ἀπέρχεσθαι τοῦ βίου, ἀποθνήσκειν, Εὐρ. Ἑλ. 102· πρβλ. Ἱππ. 356· βίου ἀπαλλαγὴν ἀπ. Πλάτ. Πολ. 496Ε· ὡσαύτως συχνάκις ἄνευ τοῦ βίου, ἀποθνήσκω, Εὐρ. Ἡρακλ. 1000, Θουκ. 2. 42, Πλάτ. Φαίδων 81C, κτλ.: ἐπὶ πραγμάτων, παύομαι, Ἀριστ. Μεγ. Ἠθ. 2. 6, 20. **3)** ἀπαλλάσσομαι, γλυτώνω, ξεκάμνω, σὺ γὰρ μετ' ἀνδρῶν, ὦ κάκιστε κὰκ κακῶν ;.. ὅστις πρὸς ἀνδρὸς Φρυγὸς ἀπηλλάγης λέχους, ὅστις κατώρθωσες νὰ ξεφορτωθῇς τὴν γυναῖκά σου, εὐκολύνας δηλ. τὴν ἁρπαγὴν αὐτῆς, Εὐρ. Ἀνδρ. 592· ἀπ. γυνή τε ἀπὸ τοῦ ἀνδρὸς καὶ ἀνὴρ ἀπὸ τῆς γυναικὸς Πλάτ. Νόμ. 868D. **4)** ἐπειδὴ τῶν διδασκάλων ἀπηλλάγημεν, ἀφ' ὅτου δὲν διδασκόμεθα πλέον, ἀφ' ὅτου δὲν ἔχομεν πλέον διδασκάλους νὰ διδάσκωσιν ἡμᾶς, Πλάτ. Γοργ. 514C, πρβλ. Ξεν. Ἀπομν. 1. 2, 24. **5)** ἀπαλλάσσεσθαι ἐκ παίδων, ὡς τὸ Λατ. e pueris excedere, ἐξέρχεσθαι ἐκ τῆς παιδικῆς ἡλικίας, οὗτος (ὁ Τίμαρχος) ... ἐπειδὴ ἀπηλλάγη ἐκ παίδων, ἐτελείωσε τὴν παιδικὴν ἡλικίαν, Αἰσχίν. 6. 16. **6)** ἀπομακρύνομαι ἀπό τινος, τὸ Ἑλληνικὸν [ἔθνος] ἐὸν καὶ δεξιώτερον καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον Ἡρόδ. 1. 60· ξυμφορῶν Θουκ. 1. 122· αἰσχύνης ὁ αὐτ. 3. 63· μετ' ἀπαρεμ., κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο, δὲν ἐστερεῖτο τῆς ἱκανότητος νὰ κρίνῃ ἐπαρκῶς, Θουκ. 1. 138. **6)** πολλὸν ἀπηλλαγμένος τινός, κατὰ πολὺ κατώτερος αὐτοῦ, Ἡρόδ. 2. 144. **7)** ἀφίνω, παραιτοῦμαι, καὶ νῦν ἀπαλλαχθέντες τῶν μακρῶν λόγων .. εἴσω παρέλθεθ' Σοφ. Ἠλ. 1335· σκωμμάτων Ἀριστοφ. Πλ. 316· ἀπ. ληιμμάτων, παραιτοῦμαι, ἀφίνω τὴν ἐπιζήτησιν, τὴν ἐπιδίωξιν .., Δημ. 37. 24· οὐκ ἀπήλλακται γραφικῆς, δὲν διάκειται δυσμενῶς πρὸς τὴν γραφικήν, Λουκ. π. Ὀρχήσ. 35. **8)** ἀπολύτ., παρέρχομαι, παύομαι, κοπάζω, καὶ τοὔδ' ἀπαλλαγέντος .. ἡ παῖς ὁρᾶται Σοφ. Ἀντ. 422, Πλάτ. Ἀπολ. 39D· ὡς ἀπήλλαγμαι, ὅτι παρῃτήθην, Δημ. 578. 14. **γ)** μ. μετοχ. ὡς τὸ ἄνυσον πράξας, κτλ., εἰπὼν ἀπαλλάγηθι λέγε καὶ τελείωνε, Πλάτ. Γοργ. 491C, πρβλ. Θεαίτ. 183C· λαμπρὸν πυρώσας ὄμμ' ἀπαλλάχθηθ' ἅπαξ, κατακαύσας τὸν ὀφθαλμὸν αὐτοῦ [τοῦ Κύκλωπος, ὦ Ἥφαιστε], ἀπαλλάχθητι ἅπαξ διὰ παντὸς τοῦ πυροῦν αὐτόν, Εὐρ. Κύκλ. 600, ὁ Paley ὅμως τιθεὶς κόμμα μετὰ τὸ ὄμμ' ἑρμηνεύει: ἀπαλλάχθητι αὐτοῦ (τοῦ Κύκλ.) ἅπαξ διὰ παντός. — Ὡσαύτως καὶ κατὰ μετοχ. ὡς τὸ ἀνύσας, μετὰ ῥήματος, οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει; ἐπὶ τέλους δὲν θὰ μᾶς εἴπῃς τί συνέβη καὶ νὰ σηκωθῇς νὰ φύγῃς; Σοφ. Ἀντ. 244· ἀφίνω τὴν ἔχθραν, συμφιλιοῦμαι, ὡς τὸ **διαλλάσσομαι** ἢ **καταλλάσσομαι**, ἐὰν μὴ πρότερον ἐν γείτοσιν ἢ ἐν αἱρετοῖσι δικασταῖς ἀπαλλάττωνται πρὸς ἀλλήλους τῶν ἐγκλημάτων Πλάτ. Νόμ. 915C· — ἀπολ., αὐτόθι 768C, Δημ. 578. 14. **9)** ἀναλαμβάνω ἐκ νόσου, Ἱππ. π. Ἀρ. Ἰητρ. 9, Ἀρετ. π. Αἰτ. Χρον. Παθ. 1. 14.

ἀπαλλητόν· «θαυμαστόν, ἔξαλλον, πολὺ παρηλλαγμένον» Ἡσύχ.

ἀπ-αλλότριος, α, ον, ὁ ἀπαλλοτριωθείς, ὁ δοθεὶς εἰς ξένους Διόδ. 11. 76.

ἀπ-αλλοτριόω: μέλλ. **-ώσω**: πρκμ. **ἀπηλλοτρίωκα** Αἰσχίν. 29. 20: — καθιστῶ τι ἀλλότριον, ξένον, ἀποξενώνω, Ἱππ. π. Ἄρθρ. 824· ἀπ. τι ἀπό τινος Αἰσχίν. ἔνθ' ἀν· τινά τινος Ἰωσήπ. Ἀρχ. Ἰουδ. 4. 1, 1: — Παθητ. ἀλλοτριούμενα μὲν λύπας κτλ. Πλάτ. Τίμ. 65Α· τινος Πολύβ. 1. 79, 6· πρός τινα Ἰσοκρ. Ἐπιστ. 423Ε, Διόδ. 18. 48· ἀπηλλοτριωμένην πρὸς φυτείαν χώραν, ἀκατάλληλον, ἀνάρμόδιον πρὸς .., ὁ αὐτ. 3. 73. **2)** ἐπὶ κτημάτων, ἀπαλλοτριῶ, ἀποδίδωμι, πωλῶ (πρβλ. τὸ ἑπ.), Ἀριστ. Ῥητ. 1, 5, 7, Συλλογ. Ἐπιγρ. 2058Β.

ἀπαλλοτρίωσις, ἡ, δόσις, πώλησις, λέγω δὲ ἀπαλλοτρίωσιν δόσιν καὶ πρᾶσιν Ἀριστ. Ῥητ. 1. 5, 7, πρβλ. Συλλογ. Ἐπιγρ. 3281.

ἀπᾰλοάω, ποιητ. **-οιάω**: μέλλ. **-ήσω,** ἀλωνίζω, σῖτος ἀπηλοημένος, «ἀλωνισμένον σιτάρι», Δημ. 1042. 22. **2)** μεταφ. θραύω, συντρίβω, ἄχρις ἀπηλοίησεν Ἰλ. Δ. 522· ἐν γένει σημαίνει, κατασυντρίβω, καταστρέφω, Νόνν. Δ. 9. 320.

ἀπαλό-βιος, ον, ὁ ἀπαλῶς, μαλθακῶς ζῶν, ἁβρόβιος, Κ. Μανασσ. Χρον. 6692.

ἀπᾰλο-βραχής· «ἁπαλοβραχέα· ἁπαλοανθῆ, ἁπαλῶς θάλλοντα» Ἡσύχ.

ἀπᾰλό-θριξ, ιχος, ὁ, ἔχων ἁπαλὰς τρίχας, Εὐρ. Βάκχ. 1185.

ἀπαλοῖξαι, «ὀμόσαι» Ἡσύχ. ἐκ τοῦ Θησ. Στεφ.

ἀπᾰλοιφή, ἡ, (ἀπαλείφω) ἐξάλειψις, Γλωσσ.

ἀπᾰλο-κουρίς, ίδος, ἡ = ἁπαλὴ κουρίς, ἢ **κωρὶς** δωρικ. ἀντὶ **καρίς,** εἶδος ἁπαλῆς καρίδος ἢ ἰχθύος, Ἐπίχαρμ. παρ' Ἀθην. 304Ε.

ἀπᾰλό-παις,-δος, ἁπαλόν, τρυφερὸν παιδίον, Ἡσύχ. ἐν λέξει, δρυψόπαιδα.

ἀπᾰλο-πάρῃος, ον, ὁ ἔχων ἁπαλὰς παρειάς, Εὐστ. 691. 52.

ἀπᾰλο-πλόκᾰμος, ον, ὁ ἔχων ἁπαλοὺς πλοκάμους, «σηπιοπουλυποδείων τῶν ἁπαλοπλοκάμων» Φιλόξ. παρ' Ἀθην. 147Β.

ἀπᾰλό-πνοος, ον, ὁ ἁπαλῶς, μαλακῶς πνέων· ἁπαλόπνοος αὔρα Κ. Μανασσ.

ἀπᾰλό-πους, δος, ὁ ἔχων ἁπαλούς, ἁβροὺς πόδας, Γλωσσ.

ἀπᾰλο-πτέρυξ, υγος, ὁ ἁπαλὰς ἔχων πτέρυγας, Κ. Μανασσ. Χρον. 6570.

ἀπᾰλός, ή, όν, Αἰολ. **ἄπαλος,** μαλακὸς εἰς τὴν ἁφήν, τρυφερός· παρ' Ὁμήρῳ ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τοῦ ἀνθρωπίνου σώματος, ἁπαλὴν ὑπὸ δειρὴν Ἰλ. Γ. 371· παρειάων ἁπαλάων Σ. 123· ἁπαλοῖο δι' αὐχένος ἤλυθεν ἀκωκή Ρ. 49, Ὀδ. Χ. 16· ἀπ. πόδες Ἰλ. Τ. 92. ἀπ. τέ σφ' ἦτορ ἀπηύρα, ὅ ἐ. τὴν ζωὴν νέων ζώων, Λ. 115 (οὕτως, ἁπαλὰς λαβοῦσα, νέας τὴν ἡλικίαν, Ἀριστ. Ἱστ. Ζ. 10. 6, 3)· οὕτως, ἵεσαν αὐδὴν ἐξ ἁπαλῶν στομάτων Ἡσ. Ἀσπ. 279: ἐπὶ ἀνθρώπου, τρυφερός, εὐμορφοτέρα .. τᾶς ἀπάλας Γυρίννως Σαπφὼ 76 [42]· σπάν. παρὰ Τραγ., καὶ μόνον ἐν Λυρ. χωρίοις, Αἰσχύλ. Ἱκ. 70 (πρβλ. **ἀμαλός**)· βρέφος ἁπαλὸν Εὐρ. Ι. Α. 1286· βλέφαρον τέγγουσ' ἁπαλὸν Ἠλ. 1339· ἀλλὰ συχνότερον παρὰ Κωμ. ἁπαλὸν σισύμβριον Κρατῖν. ἐν «Χείρωσι» 2· κρέα Ἀριστοφ. Λυσ. 1063· δακτύλους ἁπαλοὺς Ἄλεξ. ἐν «Δημητρίῳ» 3· θερμολουσίαις ἁπαλοὶ Κωμ. Ἀνώνυμ. 241· οὕτω παρὰ πεζοῖς, ἀπ. ψυχὴ Πλάτ. Φαῖδρ. 245Α· ἐπὶ προσφάτων καρπῶν, Ἡρόδ. 2. 92, πρβλ. Ξεν. Οἰκ. 19. 18· ἐπὶ τρυφεροῦ κρέατος, Ξεν. Ἀν. 1. 5, 5· ἐπὶ ἡσύχου πυρός, Φιλήμ. ἐν «Στρατιώτῃ» 1. 8, Διόδ. 3. 25. **II.** μεταφ., μαλακός, ἥσυχος, γλυκύς, ἁπαλὸν γελάσαι, ὡς τὸ ἡδὺ γελάσαι, Ὀδ. Ξ. 465· ἀπ. δίαιτα, ἁβρὰ δίαιτα, Πλάτ. Φαῖδρ. 239C. τῷ αὐτῷ .. χρησώμεθα τεκμηρίῳ περὶ ἔρωτα, ὅτι ἁπαλός, ὁ αὐτ. Συμπ. 195Ε: — προσέτι, ἀπ. εἴσπλους λιμένος ἐν ἀντιθέσει πρὸς τὸ τραχὺς Κρατῖν. ἐν Ἀδήλ. 12. 6: — Ἐπίρρ., ἁπαλῶς ὀπτᾶν ἐπὶ μετρίου πυρός, Σωτάδ. ἐν «Ἐγκλειομέναις» 1. 16, πρβλ. Wess. Διόδ. 1. σ. 192. **2)** ἐπὶ κακῆς σημασίας, μαλακός, μαλθακός, οἴμ' ὡς ἁπαλὸς καὶ λευκός, Κρατῖνος ἐν «Πυτίνῃ» 3· λευκὸς ἐξυρημένος .., ἁπαλὸς Ἀριστοφ. Θεσμ. 192. (Πολὺ πιθανὸν ὅτι τὸ **ἁπαλὸς** καὶ **ἁβρὸς** ἔχουσι τὴν αὐτὴν ῥίζαν, ἴδε ἐν λ. ἁβρός. Ὁ Döderl σχετίζει τὴν λέξιν πρὸς τὸ **ὀπός** (χυμὸς φυτοῦ ἢ καρποῦ)). [ἄπᾰλος· διότι τὸ καλάμω .. ὑφ' ἅπαλῶ ἐν Θεοκρ. 28. 4 εἶναι ἐφθαρμένον· ἀλλ' ὁ Meineke γράφει, ὑπαπάλῳ].

ἀπᾰλό-σαρκος, ον, ὁ ἔχων ἁπαλὴν ἤτοι τρυφερὰν σάρκα, Ἱππ 426. 53, 588. 51.

ἀπᾰλόστομος, ον, ἐπὶ οἴνου, ὁ μαλακὸς εἰς τὸ στόμα, «γλύξις· ὁ ἀνειμένος οἶνος καὶ ἄτονος, ὃν ἔνιοι μὲν ἁπαλόστομον, οἱ δὲ γλεῦξιν» Ἡσύχ. ἐν Λ. γλύξις.

ἀπᾰλό-στρακος, ον, ὁ ἔχων ἁπαλὸν ὄστρακον, «πάντα τὰ ὀστρακόδερμα καὶ ἁπαλόστρακα ὡς οἱ κάραβοι καὶ καρκίνοι καὶ ἀστακοὶ» Γρηγ. Νύσσ. τ. 2. σ. 92C.

ἀπᾰλο-σύγκρῐτος, ον, ὁ ἁπαλῶς συγκεκριμένος, δηλ. ὁ ἔχων ἁπαλὴν σύστασιν, «ταῦτα τὰ ἔργα δύναται γενέσθαι ἐπὶ τῶν παιδικῶν καὶ γυναικείων σωμάτων τῶν ἁπαλοσυγκρίτων» Ὀρειβάσ. σ. 9. 12, ἐκδ. Μαΐου.

ἀπᾰλότης, ητος, ἡ, (ἁπαλός) μαλακότης, τρυφερότης, Ἱππ. π. Ἀρχ. Ἰητρ. 18, Πλάτ. Συμπ. 195D, Ξεν. Ἀπομν. 2. 1, 22· δι' ἁπαλότητα Ἀριστ. Πολ. 7. 17, 2.

ἀπᾰλο-τρεφής, ές, ὁ καλῶς τεθραμμένος, παχύς, σίαλος Ἰλ. Φ. 363· ἀπ. λειμῶνες, πλούσιαι νομαί, Ἀνθ. Π. παράρτ. 50. 11.

ἀπᾰλο-φόρος, ον, ὁ φορῶν ἁπαλά, δηλ. ἁβρὰ ἱμάτια, τὸ τοῦ Εὐαγγελ. ὁ τὰ μαλακὰ φορῶν (κ. Ματθ. ια', 8)· Ἐτυμ. Μ. 4, ἐν λέξ. ἁβροείμονες.

ἀπᾰλό-φρων, ον, ὁ ἔχων ἁπαλά, τρυφερὰ αἰσθήματα, ἤπιος, Ἀνθ. Π. 7. 403, Κλήμ. Ἀλ. 108.

ἀπᾰλό-χροος, ον, συνῃρημ. — **χρους, ουν·** μετὰ ἑτεροκλίτ. γεν. ἁπαλόχροος, δοτ. -χροΐ, αἰτ. -χροα: ὁ ἔχων ἁπαλὸν δέρμα,

Ὕμν. Ὁμ. εἰς Ἀφρ. 14, Ἡσ. Ἔργ. κ. Ἡμ. 517, Θεογν. 1341 Bgk., Εὐρ. Ἑλ. 373 (λυρ.): — ὡσαύτως, **ἁπαλόχρως, χρωτος**, ὁ, ἡ, Δ. Β. 18.

ἁπαλό-ψυχος, ον, ἔχων ἁπαλήν, ἤτοι τρυφερὰν ψυχήν, προσηνής, γλυκύς, ἤπιος, Κ. Μανασσ. Χρον. 4130, πρβλ. Ἡσύχ. ἐν λέξ. **γλυκύθυμος.**

ἁπαλυντής, οῦ, ὁ, ὁ ἁπαλύνων δέρματα, βυρσοδέψης, «δεψοποιός· βαφεύς, ἁπαλυντής» Ζωναρ. 478.

ἁπαλύνω: μέλλ. ὑνῶ, (ἁπαλὸς) μαλακύνω, μαλάσσω, τοῦ ἵππου τὸ στόμα, τὰς τρίχας Ξεν. Ἱππ. 5. 5: παχύνω, ἐν ἀντιθέσει πρὸς τὸ **ἰσχναίνω**, Ἱππ. π. Ἄρθρ. 816. **2)** καθιστῶ τι ἁπαλόν, τρυφερόν, τοὺς πόδας ὑποδήμασι Ξεν. Λακ. 2. 1, πρβλ. Ἱππ. 4. 5: — Παθ. μαλακύνομαι, μαλάσσομαι, μεταφορ. Ἑβδ. (Βασιλ. Δ' κβ', 19', Ψαλμ. νδ', 21).

ἁπαλύσκομαι, = ἀπαλεύομαι: ἀπαλύξασθαι, διάφ. γραφ. ἀντὶ **ἀπαλέξασθαι** Νικ. Θ. 829.

ἁπαλυσμός, ὁ, πάχυνσις, Ἱππ. π. Ἄρθρ. 817.

ἀπ-αλφιτίζω, μέλλ. -σω, ἀναμιγνύω οἶνον μετ' ἀλφίτων (δηλ. χονδροαλεσμένης κριθῆς) κατὰ τὸν Περσικὸν τρόπον, Ἀθήν. 432D· ἐπ' ἀλφίτου πίνειν Ἐπίνικος αὐτόθι, ἴδε Mein. Κωμ. Ἑλλ. 4. 505.

ἁπάλωσις, εως, ἡ, ἡ μαλάκυνσις, Ἀθανάσ. τ. 2. σ. 62C.

ἀπαμαλδύνω, καθιστῶ τι ἀφανές, ἀπημάλδυνεν Ὅμηρος ὑμνοπόλους Ἀνθ. Π. 9. 24, ἀστράσιν ἥλιος, ἠελίῳ δὲ νέφος κάλλος ἀπημάλδυνε, ἐξηφάνισε, Γρηγορ. Ναζ. Ὕμν. 161. 1.

ἀπαμαυρόω, ἀφαιρῶ τὸ σκότος, ὅσσων δὲ σκοτόεσσαν ἀπημαύρωσας ὁμίχλην Ὀρφ. Ὕμν. 5. 6. **II.** καθιστῶ τι ἀμαυρόν, ἀσαφές, σκοτεινόν, Ἐπιγράμμ. Ἑλλ. 1028. 21.

ἀπαμάω: μέλλ. -ήσω, ἀποκόπτω, ἀπ' οὔατα νηλέϊ χαλκῷ ῥῖνάς τ' ἀμήσαντες (ἐν τμήσει) Ὀδ. Φ. 301, πρβλ. Ἡσ. Θ. 181· ἀπάμησον [τὸν πόδα] Σοφ. Φ. 749: οὕτως ἐν τῷ μέσ. τύπῳ Θεοφρ. Λιθ. 21· ἀπὸ στάχυν ἀμήσασθαι Κόϊντ. Σμ. 13. 242: — Παθ. Νόνν. Δ. 4. 413. [ᾰπᾰ- παρ' Ἐπ., ἀλλὰ παρὰ Σοφ. ἀπᾱ-].

ἀπαμβλίσκω, καθιστῶ τι ἀτελεσφόρητον, καὶ καρποὺς ἀπαμβλίσκειν «ἀτελεσφορήτους ποιεῖν. Ἡ μεταφορὰ ἀπὸ τῶν ἀπαμβλισκουσῶν γυναικῶν· καρποὺς δὲ τοὺς σιτικοὺς λέγει ἀντιδιεσταλμένως πρὸς τὰ δένδρα» (Σημ. Κοραῆ), Πλουτ. Ἄρατ. 32. **II.** ἀμεταβ. ἐπὶ γυναικός, ἀποβάλλω, κάμνω ἀποβολήν: ἀόρ. ἀπήμβλωσε, ὁ αὐτ. Πομπ. 53.

ἀπαμβλύνω: μέλλ. ὑνῶ, ἀμβλύνω, καθιστῶ τι ἀμβλύ, κάμνω αὐτὸ νὰ μὴ εἶναι κοπτερόν, τὰ ξίφη πάντα ἀπημβλύνθη Δίων Κ. 40, 24· ἀλλὰ κατὰ τὸ πλεῖστον. **2)** μεταφ., ἀπὸ γὰρ κόρος ἀμβλύνει αἰανὴς ταχείας ἐλπίδας Πινδ. Π. 1. 160· ἐπὶ προσώπ., τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ, Αἰσχύλ. Θ. 715· φάος ὄσσων Ὀππ. Ἀλ. 4. 525: — συχνότερον ἐν τῷ παθ., γίνομαι ἀμβλύς, χάνω τὴν ὀξύτητα καὶ δύναμίν μου, Ἐπιγράμμ. Ὁμ. 12, Πλάτ. Πολ. 442D· ἰσχὺς ἀπήμβλυνται Ποιητὴς παρ' Ἀθην. 692Δ· γηράσκοντι συγγηράσκουσιν αἱ φρένες καὶ ἐς τὰ πρήγματα πάντα ἀπαμβλύνονται Ἡρόδ. 3. 134· ἀπαμβλυνθήσεται γνώμην Αἰσχύλ. Πρ. 866.

ἀπαμβροτεῖν, ἴδε ἐν λ. **ἀφαμαρτάνω.**

ἀπαμείβομαι: ἀόρ. **ἀπημείφθην** Ξεν. Ἀν. 2. 5, 15: ὑπερσυντ. **ἀπάμειπτο** Ἀνθ. Π. 14. 3: ἀποθ.: — ἀποκρίνομαι, ἀπαντῶ, συνηθέστατον παρ' Ὁμ., ἀλλ' ἀεὶ μεθ' ἑτέρου ἐμφατικωτέρου ῥήματος, ὡς ἀπομειβόμενος προσέφη ἢ ἀπαμείβετο φώνησέν τε· οὕτω, Τισσαφέρνης δὲ ὧδε ἀπημείφθη, δηλ. ἀπεκρίνατο, Ξεν. ἔνθ' ἀνωτ., τινὰ Θεόκρ. 8. 8.

ἀπαμείρω, ἀποστερῶ, ἀφαιρῶ τι παρά τινος, μηδ' αὔτως .. τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας Ἀπολλ. Ῥόδ. Γ. 186: — Παθ., στεροῦμαι, τινός, διάφ. γραφ. ἀντὶ τοῦ **ἀπομείρομαι**, ἐν Ἡσ. Θ. 801, Ἔργ. Ἡμ. 576, καὶ ἐν Ὀδ. Ρ. 322 ἀντὶ τοῦ **ἀποαίνυμαι.**

ἀπαμέλγω, βυζάνω, ἕλκω, ῥοφῶ γάλα ἐκ τοῦ μαστοῦ, ἡ τροφὸς ἀπαμελξάτω τὸ παρακείμενον τοῖς μαστοῖς γάλα Ἰατρ.

ἀπαμελέομαι, παθ., ὅλως ἀμελοῦμαι, ἀπημελημένον ... καὶ ῥάκεσι ἐσθημένον Ἡρόδ. 3. 129, 132, Σοφ. Φ. 652.

ἀπαμέργομαι, μέσ., ἐν χρήσει μόνον κατ' ἐνεστ. καὶ παρατ. ἀποδρέπω δι' ἐμαυτόν, πτόρθους ἀπαμέργεο ῥάμνου Νικ. Θ. 861, ἀπαμέργεο βλάστας, «ταπεινὰς ἀπόκοπτε» (Σχόλ.), Ἀλέξ. 306.

ἀπαμέρδω, = ἀπαμείρω, Κόϊντ. Σμ. 4. 422, κτλ.

ἀπαμμένος, Ἰων. μετοχ., παθ. πρκμ. τοῦ **ἀφάπτω.**

ἀπαμπαίω, ἀποκρούομαι, ἀπωθοῦμαι, ἀποδιώκω, κύνανς ἀπαμπαιόμενο[νς] Ἐπιγρ. Γόρτ. Κρήτης, Κομπ. 152 II_{17}.

ἀπαμπίσχω, ἀπεκδύω, πάντα ἀπαμπίσχοντες καὶ ἀπογυμνοῦντες Φίλων 2. 74, 47 κτλ.

ἀπαμπλακεῖν, ἀπαρ. τοῦ ἀόρ. **ἀπήμπλακον** (ἄνευ εὐχρήστου ἐνεστῶτος), = **ἀφαμαρτεῖν**, ὁλοσχερῶς ἀποτυχεῖν, Σοφ. Τρ. 1139. (Ἕτεροι προτιμῶσι τὸν ἄνευ τοῦ μ τύπον, **ἀπαπλ-**)· πρβλ. Ἐλμσλ. ἐν Μηδ. 115.

ἀπαμύνω: μέλλ. -ὑνῶ, ἀποκρούω, ἀποδιώκω, μετὰ τῆς συμπαρομαρτούσης ἐννοίας τῆς ὑπερασπίσεως, τί τινι: Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ, «ἀπέσβησε τὴν δεινὴν ἡμέραν τοῖς Αἰτωλοῖς» (μετάφρ. Γαζῆ), Ἰλ. Ι. 597· ἡμῖν ἀπὸ λοιγὸν ἀμύνειν Δ. 67· μεταγεν. τί τινος Λουκ. Κυν. 13 (πρβλ. ἀρὴν ἀπὸ οἴκου ἀμῦναι Ὀδ. Β. 59)· ὡσαύτως μετ' αἰτ. μόνον ἀπ. τὰ κακὰ Ἡρόδ. 7. 120· ἀπ. τὸν βάρβαρον 9. 90· ἀποσοβῶ, τὰς μυίας Ἀριστοφ. Σφ. 597· τοὺς ἔξωθεν Πλάτ. Πολ. 415E. **II.** Μέσ., ἀπωθῶ ἀπ' ἐμαυτοῦ, ἀποκρούω, ἀποδιώκω, ἄνδρ' ἀπαμύνασθαι Ὀδ. Π. 72· οὕτως, ἀπ. τὰς νέας Ἡρόδ. 5. 86· τὴν πενίην καὶ τὴν δεσποσύνην ὁ αὐτ. 7. 102· ὡσαύτως τὰ δεῖ (τὰ πτερωτὰ θηρία) ἀπαμυνομένους ἀπὸ τῶν ὀφθαλμῶν οὕτω δρέπειν τὴν κασίην ὁ αὐτ. 3. 110. **2)** ἀπολ., ὑπερασπίζω ἢ προφυλάσσω ἐμαυτόν, ὁ δ' οὐκ ἀπαμύνετο χερσίν Ὀδ. Λ. 579· πόλις .. ᾗ κ' ἀπαμυναίμεσθ', δι' ἧς δυνάμεθα νὰ ὑπερασπίσωμεν ἑαυτούς, Ἰλ. Ο. 738· οὕτως Ἀριστ. Περὶ μακροβ. 5. 11.

ἀπαμφιάζω, ἀπεκδύω, ἀπογυμνῶ, ἀφαιρῶ τὸ περιβάλλον ἢ τὸ περικοσμοῦν, Πλούτ. 2. 406D. — Μέσ., ἀπαμφιασάμενοι τὰ περίαπτα γυμνὴν ἐπιδείκνυνται τὴν ὑπόκρισιν Φίλων 1. 288. ἀπαμφίαζου πενθικὴν ἀμορφίαν Συλλ. Ἐπιγρ. 8. 795. μεταφ., γυμνὴ καὶ ἀπημφιασμένη ἀλήθεια Φίλων 1. 263· ἀπαμφιάσαι γυμνὴν τὴν ψυχὴν Θεμίστ. 249D: — Ἐντεῦθεν οὐσιαστ. **ἀπαμφιασμός**, Κορνούτος π. Θε. Φύσ. 30· — καὶ **-ασις**, ἡ **-εσις**, ἡ, Διονύσ. Ἀρ., Κύριλλ.

ἀπαμφιέννυμι, ἐκδύω, ἀποδύω, «ξεγυμνώνω», ἀνοίγω, στέρν' ἀπημφιεσμένας, ἐχούσας τὰ στήθη γεγυμνωμένα, ἀνοικτά, Ξέναρχ. ἐν «Πεντάθλῳ» 1. 5. **2)** ἀφαιρῶ, ἐξαλείφω, τείχους Πλούτ. 2516F.

ἀπαμφίζω: μέλλ. Ἀττ. -ιῶ, = **ἀπαμφιάζω**, ἀφαιρῶ τι ἀπό τινος, ἀπογυμνῶ, «ξεσκεπάζω». ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτό σου καὶ λανθάνειν βουλόμενον ἡ μέθη ποτὲ Μένανδρ. ἐν «Μισουμένῳ» 9: — ὡσαύτως **ἀπαμφίσκω** Φίλων 2. 319.

ἀπαναγιγνώσκω, κακῶς καὶ πλημμελῶς ἀναγινώσκω, Ἀπολλών. περὶ Συντάξ. 126: **ἀπανάγνωσμα**, σφάλμα ἐν τῇ ἀναγνώσει, ἐσφαλμένη ἀνάγνωσις, αὐτόθι 146, κτλ.

ἀπαναγκάζω: μέλλ. -άσω, ἐπαναγκάζω, ὑποτείνας τοὺς δακτύλους, ἀπαναγκάζοι ἀπὸ τῶν πλευρέων κτλ. Ἱππ. π. Ἄρθρ. 780· ἀλλ' ἐν τῇ ἐκδόσει τοῦ Kühn ὑπάρχει τὸ ἁπλοῦν ῥῆμα **ἀναγκάζοι**, ἴδε ἔκδ. Λιττρ. τ. 4. σ. 82· ἐν ἀντιθέσει πρὸς τὸ **προσαναγκάζω**, αἱ γὰρ ἐπιδέσιες οὐδέν τι μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν αὐτ. 792: — συχν. ὡς ἐσφαλμ. γραφὴ ἀντὶ τοῦ **ἐπαναγκάζω.**

ἀπαναιδεύομαι, ἀποθ. = **ἀναισχυντέω**, φέρομαι ἀναιδῶς, Θωμ. ὁ Μ. ἀναφέρει τὴν λέξιν ὡς Ἀττ., ἀλλ' εὕρηται μόνον παρὰ μεταγεν. συγγραφ., ὡς ἐν Νικήτ. Χρον. 142D.

ἀπαναίνομαι, ἀποθ., δὲν ἀναγνωρίζω, ἀπορρίπτω, ἀπαρνοῦμαι, οἱ δ' οὐ γιγνώσκοντες ἀπηνήναντο, «ἀπηρνήσαντο» (Σχόλ.) Ἰλ. Η. 185· ἀπανήνασθαι θεοῦ εὐνὴν Ὀδ. Κ. 297· εὐθὺς δ' ἀπανάνατο νύμφαν Πινδ. Ν. 5. 60· μετοχ. **ἀπανηνάμενος** Αἰσχύλ. Εὐμ. 972· ὁ ἐνεστ. παρ' Ἱππ. 655. 26, Πλούτ. 2. 132C.

ἀπαναισιμόω, = ἀπαναλίσκω, Ἱππ. (;).

ἀπαναισχυντέω, ἔχω τὴν ἀναίδειαν νὰ εἴπω ἢ πράξω τι, τοῦτο οὐχ οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι ὡς .., Πλάτ. Ἀπολ. 31C. **II.** ἀρνοῦμαι ἀναισχύντως, Δημ. 850. 17.

ἀπαναλίσκω: μέλλ. -ανᾱλώσω, πρβλ. Ἀλκίφρονα 3. 47: πρκμ. ἀπανάλωκα Θουκ. 7. 11: ἀόρ. παθ. -ώθην ὁ αὐτ. 7. 30: ὑπερσυντ. ἀπανηλώμην Διόδ. 12. 40: καταναλίσκω τι ὁλοσχερῶς, καταδαπανῶ, ἔνθ' ἀνωτ.: — ὁ τύπος **ἀπαναλόω** ἀπαντᾷ παρὰ Τιμ. Λοκρ. 101D κατὰ παθ. μετοχ. ἐνεστ.

ἀπανάλωσις [νᾰ], **εως**, ἡ, ἡ παντελὴς κατανάλωσις, Διόδ. 1. 41.

ἀπανᾶν, «καλεῖν» Ἡσύχ.

ἀπανάστασις, εως, ἡ, μετοικεσία, μετάστασις, Διον. Ἀλ. ΙΙΙ, 1751. 17, Στράβ. 4. 1, 13, σ. 293, 1, Ἰωσήπ. Ἰουδ. Π. 1. 15, 3.

ἀπαναστάτης, ου, ὁ, μετανάστης, πατρίδων ἀπ. Εὐμάθ. 273.

ἀπαναστεύω, = ἀπανίσταμαι, Νικήτ. Χρον. 114B.

ἀπαναστομόω, = ἀναστομόω, ἀνθ' οὗ εὕρηται ὡς διάφ. γραφ. ἐν Διον. Ἀλ. 3. 40.

ἀπανατέλλω, ποιητ. **ἀπαντέλλω** κάμνω τι νὰ ἀνατείλῃ, ἐγείρω ἀπὸ .., Ὀππ. Κ. 2. 97, 563: — περὶ τοῦ ἐν Αἰσχύλ. Ἀγ. 20, ἴδε **ἐπανατέλλω.**

ἀπαναχωρέω, ἐπιτεταμένον, ἀντὶ τοῦ **ἀναχωρέω**, Ἀνδρ. Κρήτ. σ. 222, 228· μετὰ γεν., Θεοφύλ. Σιμοκ. Ἐπιστ. 79· καὶ **ἀπαναχώρησις, εως**, ἡ, Διόδ. 25. 5· ἐκτὸς ἐὰν ἀπανταχοῦ πρέπῃ νὰ διορθωθῇ **ἐπαναχωρέω.**

ἀ-πανδόκευτος, ον, ἄνευ πανδοκείου πρὸς ἀνάπαυσιν, βίος ἀνεόρταστος, μακρὰ ὁδὸς ἀπανδόκευτος Δημόκρ. παρὰ Στοβ. 154. 38.

ἀπανδρίζομαι, ἀποθ. ὑπομένω, ἀντέχω, ἀνδρικῶς, πρὸς τὸ τῆς ἀκμῆς φλογῶδες εἰωθότων ἀπανδρίζεσθαι Καλλίστρ. Ἐκφρ. 895.

ἀπανδρόομαι, γίνομαι ἀνδρικός, φθάνω εἰς ἥβην, ἡβάσκω, Εὐρ. Ἴων 53, Λουκ. Ἔρωτ. 26· σφριγῶ, ἀπηνδρώθησαν αἱ μῆτραι, Λατ. viro maturae factae sunt, Ἀρετ. π. Αἰτ. Χρον. Παθ. 1. 6.

ἀπανεμόομαι, παθ., καταρρίπτομαι ὑπὸ τοῦ ἀνέμου, Ἡσύχ., ἔνθα πρέπει νὰ διορθωθῇ **ἀπηνεμώθη** (κατὰ Σνείδερον) ἀντὶ -ηθη.

ἀπάνευθε καὶ πρὸ φωνήεντος **-θεν**, ἐπιτεταμένον ἀντὶ τοῦ **ἄνευ-**

θε, ἐπίρρ. μακράν, πολὺ μακράν, ἀπ. κιὼν Ἰλ. Α. 35· φεῦγον ἔπειτ' ἀπ. Ι. 478, κτλ. II. ὡς πρόθ. μετὰ γεν. μακρὰν ἀπὸ .., ἀποκεχωρισμένος ἀπὸ .., τῶν ἄλλων ἀπάνευθε θεῶν Ἰλ. Ξ.189, πρβλ. Υ. 41· ἀπ. θεῶν, κατ' ἰδίαν, χωρὶς ἐκεῖνοι νὰ γνωρίζωσι τίποτε, Α. 549· οὕτως, ἀπ. τοκήων Ὀδ. Ι. 36. 2. πόρρωθεν, τοῦ δ' ἀπάνευθε σέλας γένετ' ἠΰτε μήνης, «τούτου δὲ πόρρωθεν αὐγὴ ἐγίνετο, καθάπερ σελήνης» (Μετάφρ. Γαζῆ), Ἰλ. Τ. 374.

ἀπανθέω: μέλλ. -ήσω, παύομαι ἀνθῶν, μαραίνομαι, ξηραίνομαι, Ἱππ. 234. 44: — κατὰ τὸ πλεῖστον μεταφ., Ἀριστοφ. Ἐκκλ.1121· ἀνανθεῖ .. καὶ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ, ἀκόμη καὶ μετὰ μεμαραμμένου σώματος καὶ ψυχῆς, Πλάτ. Συμπ. 196Α· οὕτως, ἐν Ἀριστ. Ῥητ. 3.10, 2, ἡ γεροντικὴ ἡλικία παραβάλλεται πρὸς ἄχυρον, ἄμφω γὰρ ἀπηνθηκότα, συχν. ὡσαύτως παρὰ Λουκ. II. ἐπὶ οἴνου, χάνω τὴν γλυκύτητά μου, ἀρχίζω «νὰ γίνωμαι», ἀπανθήσαντα δὲ [τὸν οἶνον] σκληρὸν γενέσθαι Ἄλεξ. ἐν «Δημητρίῳ» 6.

ἀπάνθησις, εως, ἡ, ἡ βοὴ τῶν ἀνθέων, δηλ. ὅταν μαραίνωνται καὶ πίπτωσι τὰ ἄνθη, κατὰ τὴν ἀπάνθησιν, κατὰ τὸν χρόνον τῆς ἀπανθήσεως, Θεοφρ. Αἰτ. Φ. 5. 9, 13.

ἀργῠροχοέω, τήκω, χωνεύω, ἢ κατεργάζομαι τὸν ἄργυρον, Κύριλλ. V. 84D:—Ἐντεῦθεν **-χοεῖον**, τό, τὸ ἐργαστήριον τοῦ ἀργυροχόου, Ἀστέρ. Ὁμ. σ. 40.

ἀργῠρο-χόος, ὁ, (χέω) ὁ τήκων ἄργυρον, ὁ κατεργαζόμενος τὸν ἄργυρον, κατὰ τὸ **χρυσοχόος**, Ἑβδ. (Σοφ. Σολ. ιε', 9).

ἀργῠρό-χροος, ον, ὁ ἀργυροῦν χρῶμα ἔχων, Ψευδο-Χρυσ. ΙΧ. 854Α, Τζέτζ. Ἱστ. 11. 483.

ἀργῠρό-χρυσος [ῡ], **ον**, ὁ ἐξ ἀργύρου καὶ χρυσοῦ, ἀλλ' ἴσως ὁ ἐξ ἀργύρου ἐπικεχρυσωμένου, Γεωργ. Παχυμ. Ἀνδ. Παλαιολ. σ. 746Ε.

ἀργῠρόω, καλύπτω δι' ἀργύρου, «ἀσημώνω» Συλλ. Ἐπιγρ. 435: — ἀλλαχοῦ ἀείποτε ἐν τῷ παθητ. ἐπαργυροῦμαι, «ἀσημώνομαι», ῥύπος ἠργυρωμένος Μενάνδρ. Μονόστ. 469: — παρὰ Πινδ. ἐπὶ προσώπων, ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις, ἀνταμειφθέντες δι' ἀργυρῶν ποτηρίων οἴνου, Ν. 10. 80· οὕτως, ἀοιδαὶ ἀργυρωθεῖσαι

πρόσωπα, ᾠδαὶ ἔχουσαι ἄργυρον ἐπὶ τῶν προσώπων, δηλ. μισθωταί, ὤνιοι, εὐτελεῖς I. 2, 13.

ἀργῠρώδης, ες, (εἶδος) πλούσιος εἰς ἄργυρον, τόπος Ξεν. Πόρ. 4. 3.

ἀργύρωμα [ῠ], τό, σκεῦος ἐξ ἀργύρου, κατὰ τὸ πλεῖστον ἐν τῷ πληθ., Λυσ. Ἀποσπ. 50· στρώματ', ἀργυρώματ', «ἀσημικά», Ἀντιφάν. ἐν «Χρυσίδι 1. 3, Μένανδ. ἐν «Ὑμνίδι» 3, κτλ.:—ἐντεῦθεν ὑποκορ. **ἀργυρωμάτιον**, τό, Ἀρρ. Ἐπίκτ. 3. 26, 36.

ἀργῠρ-ώνητος, ον, ὁ δι' ἀργυρίου ἀγορασθείς, ἀργυρώνητοι οὐκ εἰσί σφι θεράποντες Ἡρόδ. 4. 72· φθείροντα πλοῦτον ἀργυρωνήτους δ' ὑφὰς Αἰσχύλ. Ἀγ. 949· ὁ ἀργ., δηλ. δοῦλος, δουλεύειν ἀντὶ τῶν ἀργυρωνήτων Ἰσοκρ. 300B· ἀργυρ. σέθεν Εὐρ. Ἄλκ. 676.

ἀργῠρ-ωρυχεῖον, τό, μεταλλεῖον ἀργύρου, Σχόλ. εἰς Αἰσχίν. σ. 27. 30 ἔκδ. Ὀξων.

ἀργύφεος [ῠ], **η, ον,** Ἐπ. ἐπίθ., λάμπων ὡς ἄργυρος, λευκὸς ὡς ἄργυρος, Ἰλ. Σ. 50, Ὀδ. Ε. 230, Ἡσ. Θ. 574· τὸ **ἀργύ-φεος**, ἔχει σχέσιν πρὸς τὸ **ἄργυρ-ος**, οἵαν τὸ **λιγὺ-ς** πρὸς τὸ **λιγυρ-ός**: (ἴδε ἐν λ. **ἀργός**).

ἀργῠφής, ές, = τῷ προηγ., Ὀρφ. λιθ. 284.

ἄργῠφος, ον, = **ἀργύφεος**, (ἐπίθετον τῶν προβάτων) Ἰλ. Ω. 621, Ὀδ. Κ. 85.

Ἀργώ, όος, συνηρ. **οῦς**, ἡ, (**ἀργός, ή, όν**), ἡ Ἀργώ, ἤτοι τὸ πλοῖον ἐν ᾧ ὁ Ἰάσων ἔπλευσεν εἰς τὴν Κολχίδα, πρῶτον ἐν Ὀδ. Μ. 70: — Ἐπίθ. **Ἀργῷος, α, ον,** ἀνήκων εἰς τὴν Ἀργώ, δόρυ, σκάφος Εὐρ. Ἀνδρ. 794, Μήδ. 477. 2) ὁ ἀστερισμὸς τῆς Ἀργοῦς, Ἐρατοσθ. Καταστ. 35.

ἀργώδης, ες, ὁ, ἀργός, ὀκνηρός, τοὺς ἀργώδεις καὶ ὑπνώδεις Αἰσώπ. Μῦθ. 413, ἔκδ. Ἁλμίου, 284 ἔκδ. Κοραῆ.

ἄρδᾰ, ης, ἡ, (ἄρδω) ῥύπος, ἀκαθαρσία, τὴν ἄρδαν ἀπ' ἐμοῦ σπόγγισον Φερεκρ. ἐν «Ἐπιλήσμονι» 7 (Εὐστ. 707. 36).

ἀρδάλια, τά, «τοὺς πυθμένας τῶν κεραμίδων, οὓς ἔνιοι γοργύρας καλοῦσιν» Ἡσύχ.: ἐν Κυζίκῳ **γουργούρια** νῦν καλοῦσιν εἶδος κουμαρίων πηλίνων, ἐντὸς τοῦ λαιμοῦ τῶν ὁποίων ὑπάρχει τρυπητὸν διάφραγμα ὡς τὸ τῶν χωνίων· πρβλ. **ἀρδάνιον**.

ἄρδαλος, ὁ, διάφ. γρ. ἀντὶ **ἄρδα**, ἔνθ' ἀνωτ.

ἀρδαλόω, μολύνω, ῥυπαίνω, «τὸ μολῦναι ἢ ῥυπᾶναι ἀρδαλῶσαι λέγεται, καὶ ἄρδαλος ἄνθρωπος ὁ μὴ καθαρῶς ζῶν. μέμνηται τῆς λέξεως Φερεκράτης ἐν «Θαλάττῃ» καὶ Φιλήμων ἐν «Πανηγύρει» Ἐρωτ. σ. 98, Ἱππ. 582. 12., 599. 6: — Παθ., ἠρδαλωμένος, «λεπρὸς καὶ μεμιασμένος» Σουΐδ.· λίθῳ ἠρδαλωμένῳ συνεβλήθη ὀκνηρὸς Ἑβδ. (Σιρ. κα', 6).

ἀρδάνιον, τό, ἀγγεῖον κεράμειον, «τὸ δ' ὄστρακον ἐκαλεῖτο ἀρδάνιον» Πολυδ. Η', 66, «κεράμιον, γάστρα, ὅθεν τὰ θρέμματα πίνουσι καὶ εἴρηται παρὰ τὸ ἄρδειν. ἐτίθετο δὲ καὶ πρὸ τῆς θύρας τῶν τετελευτηκότων τοῖς εἰσιοῦσι καὶ τοῖς ἐξιοῦσιν ἵνα περιρραίνωνται. Ἐχρῶντο δὲ καὶ αἱ γυναῖκες τῷ ἀρδανίῳ, αἱ τὴν κρόκην τρίβουσαι ἐπ' αὐτοῦ» A. B. 441. 30, πρβλ. καὶ Ἡσύχ. ἐν λέξει.

ἀρδεία, ἡ, (ἄρδω) ἄρδευμα, πότισμα τῶν ἀγρῶν, Στράβ. 205, Πλούτ. 2. 687F· τῶν κτηνῶν, εἰς ἀρδείαν ἄγειν Αἰλ. π. Ζ. 7. 12

ἀρδεύσιμος, ον, = **κατάρρυτος** Ἡσύχ.

ἄρδευσις, εως, ἡ, (ἀρδεύω) = τῷ προηγ., Πολύβ. 9. 43, 5, Μοσχίων παρ' Ἀθην. 207D: — **ἄρδευμα**, τό, Εὐσέβ. εἰς Κωνστ. 6. σ. 729.

ἀρδευτέον, ποτιστέον, Γεωπ. 9. 11.

ἀρδευτής, οῦ, ὁ, ποτιστής, Μανέθ. 4. 258.

ἀρδευτός, ή, όν, ῥηματ. ἐπίθ., ὁ ποτιζόμενος, Σωσίθεος ἐν Ἑρμάννου Opusc. 1. 55.

ἀρδεύω, = **ἄρδω**, ποτίζω, Λατ. irrigare, Ἀριστ. Ἱστ. Ζ. 8. 19, 1, Προβλ. 20. 15, Θεοφρ. Ἱστ. Φ. 7. 5, 2, κτλ.:—**ἄρδω** εἶναι ὁ τύπος ὁ ἐν χρήσει παρὰ παλαιοτέροις συγγραφεῦσιν, ἐξαιρουμένου τοῦ Αἰσχύλ. ἐν Πρ. 852:— πρβλ. Λοβ. Φρύν. 763, Meineke Ἑλλ. Κωμ. 3. 158.

ἀρδηθμός, ὁ, ἄρδευσις, πότισμα, ἀρδηθμῷ Διὸς Λυκόφρ. 622, Νικ. Θ. 401.

ἄρδην, ἐπίρρ. συνηρ. ἀντὶ **ἀέρδην** (ὡς **αἴρω** ἀντὶ **ἀείρω**): σηκωτὰ ὑψηλά, σηκωτὰ εἰς τὸν ἀέρα, ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει, καὶ ἐκ κομψῶς εἰργασμένης πρόχου κρατουμένης ὑψηλὰ στέφει τὸν νεκρὸν διὰ τριπλῆς σπονδῆς, Σοφ. Ἀντ. 430, (ἴδε σημ. Jebb ἐν τόπῳ)· ὑψηλὰ ὑπεράνω, πηδῶντος ἄρδην Ἕκτορος ὕπερ ὁ αὐτ. Αἴ. 1279· φέρουσιν ἄρδην, ἐκκομίζουσι φοράδην, Εὐρ. Ἄλκ. 608· ἔς τε κελαινὸν Τάρταρον ἄρδην ῥίψειε δέμας τοὐμόν, ἂς τὸ σηκώσῃ καὶ ἂς τὸ ῥίψῃ εἰς τὸν ζοφερὸν Τάρταρον, Αἰσχύλ. Προμ. 1051. II. παντελῶς, ἐξ ὁλοκλήρου, ἀπὸ θεμελίων, τί δ'; οὐ γυναῖκες ... Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν; Εὐρ. Ἑκ. 887· ἄρδην ἀπολλύναι, διαφθείρειν, Λατ. penitus, funditus evertere. Πλάτ. Πολ. 421A· ἄρδην διαφθείρεσθαι ὁ αὐτ. Νόμ. 677C, πρβλ. Δημ. 385. 2· ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς, πάντας ὁμοῦ, ὅλους διὰ μιᾶς, Ἀριστοφ. Θεσμ. 274.

ἀρδιο-θήρα, ας, ἡ, (ἄρδις) λαβὶς πρὸς ἐξαγωγὴν αἰχμῶν βελῶν κτλ., ἐργαλεῖον χειρουργικὸν παρὰ Σερβίῳ ἐν Ὑπομνήμ. εἰς Αἰνειάδα Οὐεργιλ. 8. 453.

ἄρδις, εως, ἡ, ἀκίς, αἰχμὴ βέλους, αἰτ. **ἄρδιν** Ἡρόδ. 4. 81· πληθ. **ἄρδις** (Ἰων.) 1. 215· γεν. **ἀρδίων** 4. 81· κέντρον, οἶστρου δ' ἄρδις χρίει μ' ἄπυρος Αἰσχύλ. Πρ. 880, ἴδε τὴν λέξιν **ἄπυρος**.

ἀρδμός, ὁ, μέρος πρὸς ποτισμὸν τῶν βοσκημάτων, ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν Ἰλ. Σ. 521· ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασιν Ὀδ. Ν. 247, Ἀπολλ. Ῥόδ. Δ. 1247.

ἄρδω: παρατ. **ἦρδον**, Πλάτ. Τίμ. 76A, Ἰων. γ' ἑν. **ἄρδεσκε** Ἡρόδ. 2. 13: μέλλ. **ἄρσω** (;): ἀόρ. **ἦρσα** Ἡρόδ. 5. 12, ὑποτ. ἄρσῃ ὁ αὐτ. 2. 14, μετοχ. **ἄρσας** Ἡρόδ. 2. 14., 5. 12: ἐν χρήσει παρὰ τοῖς Ἀττ. μόνον κατ' ἐνεστ. καὶ παρατ. (Ἐκ τῆς √ΑΡΔ παράγονται ὡσαύτως τὰ **ἀρδεύω, ἀρδμός, ἄρδα, ἄρδαλος**, ἴσως δὲ καὶ τὸ **ῥαίνω** (ἐρ-ράδ-αται)· πρβλ. τὸ Σανσκρ. ârdras (νοτερός, ὑγρός), ârdrayâmi (ὑγραίνω, βρέχω). Ποτίζω, καὶ ἑπομένως,

1) ἐπὶ θεῶν καὶ ἀνθρώπων, ποτίζω κτήνη, Ἄρτεμιν ὕμνει, ..., ἣ θ' ἵππους ἄρσασα βαθυσχοίνοιο Μέλητος, ἀπὸ τῶν ὑδάτων τοῦ βαθυσχοίνου Μέλητος, Ὕμν. Ὁμ. εἰς Ἄρτεμιν 3· οὔπω Σιμόεντος Ἀχαΐδας ἄρσαμεν ἵππους Εὐφορίων 75· ἦρσε τὸν ἵππον Ἡρόδ. ἔνθ' ἀνωτ.·— ὡσαύτως ὁδηγῶ ἢ βάλλω νὰ κολυμβήσωσι κτήνη εἰς τὸ ὕδωρ, Βουττμ. Λεξίλ. ἐν λ. **ἀπόερσαι** 3.—Παθ., πίνω, ποτίζομαι, ἀρδόμενοί τ' οὐρῆες ἐμῶν ἱερῶν ἀπὸ πηγέων Ὕμ. Ὁμ. εἰς Ἀπόλλ. 263. 2) ἐπὶ ποταμῶν, ποτίζω γῆν, Λατ. rigare, irrigare, Ἡρόδ. 2. 14, Αἰσχύλ. Πέρσ. 487, 806, κτλ. ὡσαύτως ἐπὶ ἀνθρώπων. μισθωτὸς ἄρδει πεδία τοῦ δεδωκότος Τιμοκλῆς ἐν «Ἰκαρίοις» 3, πρβλ. Ἀριστ. π. Γεν. καὶ Φθορ. 2. 8, 4:—Παθ. ποτίζομαι, βρέχομαι, ἐπὶ χωρῶν, Ἡρόδ. 2. 13· σῖτος χερσὶ ἀρδόμενος, ποτιζόμενος διὰ τῶν χειρῶν, ὁ αὐτ. 193· ἐκ τοῦ ποταμοῦ αὐτόθι πρβλ. Ἴσυκ. 1· καρποὺς ἀρδομέναν .. χθόνα Ἀριστοφ. Νεφ. 282. II. μεταφορ. περιποιοῦμαί τι, διατηρῶ αὐτὸ ἐν δροσερᾷ καὶ ἀνθηρᾷ καταστάσει, δροσίζω αὐτό, καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατὸν Πινδ. Ο. 5. 28· ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει, διατηρεῖ αὐτὸν ἐν ἀνθηρᾷ καταστάσει, αὐτόθι 55· Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων ἄρδοντι καλλίστᾳ δρόσῳ, «τὴν δὲ τῶν Ψαλυχιδῶν φατρίαν τῇ τῶν Χαρίτων καλλίστῃ δρόσῳ καταβρέχουσι· φησὶ δὲ τοῖς ὕμνοις» (Σχόλ.), ὁ αὐτ. Ι. 5 (6), 94 (ἴδε τὸ ῥῆμα **ῥαίνω**)· οὕτω, τὸ λογιστικὸν ἄρδειν καὶ αὔξειν Πλάτ. Πολ. 550B, πρβλ. 606D, κτλ.· ἄρδειν νοῦν οἴνῳ Ἀριστοφ. Ἱππ. 96, πρβλ. Φαῖδρ. 276D, Ξεν. Συμπ. 2. 24.

Ἀρέθουσα, ἡ, ὄνομα διαφόρων πηγῶν, ὧν πρώτη μνημονεύεται ἡ ἐν Ἰθάκῃ, αἱ δὲ νέμονται πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ Ὀδ. Ν. 408: — περιφημοτάτη αὐτῶν ἦτο ἡ ἐν Συρακούσαις, περὶ ἧς λέγεται ὅτι ἦτό ποτε Νύμφη τῶν Ἀρκαδικῶν λειμώνων καὶ διωκομένη ὑπὸ τοῦ ποταμίου θεοῦ Ἀλφειοῦ, μετεβλήθη ὑπὸ τῆς Ἀρτέμιδος εἰς κρήνην καὶ ἐξηφανίσθη ὑπὸ τὸ ἔδαφος· ἀλλ' ἀνεφάνη παρὰ τὰς Συρακούσας, Στράβ. 270, πρβλ. Εὐστ. Ὀδ. 1746, 41. Ἡ Νύμφη αὕτη κατέστη ἡ Μοῦσα τῆς Βουκολικῆς ποιήσεως. (Τύπος μετοχικός, ὡς εἰ ἦτο ἡ **ἄρδουσα** ἡ ποτίζουσα: — τὸ ῥῆμα **ἀρέθω** ἀναφέρεται ὑπὸ Θεογνώστ. Καν. 141).

ἀρειά [ᾰρ], Ἰων. καὶ ποιητ. **ἀρειή**. ἡ (ἀρά): — ὄνομα περιληπτικόν, ἀπειλαί, «φοβερίσματα», λευγαλέοις ἐπέεσσιν .. καὶ ἀρειῇ Ἰλ. Φ. 339., Υ. 109· πολλὰ δὲ μειλιχίοισι .., πολλὰ δ' ἀρειῇ Ρ. 431·— ἐντεῦθεν τὸ ῥῆμα **ἀρειάω** = **ἀπειλέω**, Ἱππῶναξ ἐν Ἐτυμ. Μ. 139. 38, Γαισφ.

ἀρειανίζω, φρονῶ τὰ τοῦ Ἀρείου, εἶμαι ὀπαδὸς τῆς αἱρέσεως τῶν Ἀρειανῶν, κλίνω πρὸς τὴν αἵρεσιν τοῦ Ἀρείου, Γρηγόρ. Ναζ. ΙΙ. 476C, Ἐπιφ. 337C, Σωκρ. 2. 21 ἴδε καὶ Σουΐδ. ἐν λέξει **Ἀέτιος**.

Ἀρειανικός, ή, όν, = **Ἀρειανός**, Ἰουλ. 424C, Θεοδ. ΙΙΙ, 1145D.—Ἐπίρρ. **Ἀρειανικῶς**, κατὰ τοὺς Ἀρειανούς, Ἀναστ. Σιν. 292D.

Ἀρειανισμός, ὁ, ἡ αἵρεσις τοῦ Ἀρείου, Γρηγ. Ναζ. Ι. 1108A.

Ἀρειανιστὴς ἢ **Ἀρειανίτης**, ὁ, = **Ἀρειανός**, Μαλ. 372, 3.

Ἀρειανός, ή, όν, ὁ τοῦ Ἀρείου, ὁ ἀνήκων εἰς τὸν Ἄρειον, αἵρεσις Ἀθαν. Ι. 549A, μανία Βασίλ. IV. 712A, φρόνημα Καισάρ. 869.— Ὡς οὐσιαστ., **Ἀρειανός**, ὁ, ὀπαδὸς τοῦ Ἀρείου, Ἀθαν. Ι. 225C, ΙΙ. 17A, κ. ἀλλ., Ἐπιφάν. ΙΙ. 12B.

Ἀρειανόφρων, ονος, ὁ τὰ τοῦ Ἀρείου φρονῶν, Ἀθαν. τ. 2. σ. 48 κλ.

Ἀρειανῶς, ἐπίρρ., = Ἀρειανικῶς Γρηγ. Ναζ. ΙΙ. 169A.

Ἀρει-θύσανος, ὁ, Ἄρεως θύσανος, τολμηρὰ λέξις παριστῶσα τὸν γενναῖον καὶ δεδοκιμασμένον πολεμιστήν, Αἰσχύλ. Ἀπ. (203) 200. (Πρβλ. Εὐστ. 600. 43·— ἐκτὸς ἂν εἶναι ἐκ τοῦ **θύω**, — πρβλ. **ἀρειμανής**).

Ἀρειμᾰνής, ές (μαίνομαι) πλήρης πολεμικῆς μανίας, Σιμύλος παρὰ Πλουτ. ἐν Ρωμ. 17, Ἀνθ. Π. 9. 210: — ὡσαύτως, **ἀρειμάνιος, ον,** θρασύτης Φίλων 1. 375, πρβλ. Πλούτ. 2. 321E, κ. ἀλλ.: ὄνομα διδόμενον ὑπὸ τῶν Αἰγυπτίων Μάγων εἰς τὸν κακὸν δαίμονα, ἐν ἀντιθέσει πρὸς τὸν ἀγαθὸν δαίμονα **Ὠρομάσδην**, Ἀριστ. Ἀποσπ. 8, Πλουτ. 2. 369E, κ. ἑξ.: — ἐντεῦθεν **ἀρειμανιότης**, ἡ, Στοβ. Ἐκλογ. 2. 322.

Ἀρειο-βάτης, ου, ὁ, ὁ βαίνων, βαδίζων, ὡς ὁ Ἄρης, ἀρειμανὴς τὸ βάδισμα, Χρησμ. Σιβυλλ. 12.160.

Ἀρειο-θολόομαι, παθ., μολύνομαι ἐκ τοῦ Ἀρειανισμοῦ, δηλ. ἐκ τῆς διδασκαλίας τῶν Ἀρειανῶν, Χρον. Πασχ. τ. 1. σ. 562. 13.

Ἀρειομανίτης, ου, ὁ, ὁ ἔχων ζῆλον μανιώδη ὑπὲρ τοῦ Ἀρείου, χλευαστικὸν ὄνομα τῶν Ἀρειανῶν, Εὐστ. Ἀντ. 676D, Ἀθαν. 1. 225C, κτλ.

Ἀρειο-πᾰγίτης, Ἀρειόπᾰγος, ὁ, ἴδε **Ἄρειος πάγος.**

Ἄρειος [ᾰ], **ον,** καὶ **α, ον,** Εὐρ. Ἡρ. Μαιν. 413· Ἰων. **Ἀρήϊος, η, ον** (Ἄρης): ἀφιερωμένος εἰς τὸν Ἄρην, πολεμικός, φιλοπόλεμος, Λατ. Mavortius· παρ' Ὁμ., κατὰ τὸ πλεῖστον ἐπὶ πολεμιστῶν, Μενέλαος Ἀρήιος Ἰλ. Γ. 339, κ. ἀλλ.· πρβλ. **Ἀρηΐφιλος**· Ἀρήιοι υἷες Ἀχαιῶν Λ. 800, κ. ἀλλ.· ὡσαύτως, ἐπὶ τῶν ὅπλων αὐτῶν, ἀρήϊα τεύχεα δύω Ζ. 340, πρβλ. Κ. 407· ὁ Ἀττ. τύπος μόνον ἐν τῇ φράσει τεῖχος Ἄρειον Δ. 407, κ. ἀλλ.· ὡσαύτως παρ' Ἡροδ., ἀρήιοι ἀγῶνες, ἀγῶνες πραγματικοῦ πολέμου, ἐν ἀντιθέσει πρὸς τοὺς γυμνικούς, 9. 33· ὅπλον ἀρ. 4. 23· ἐπὶ θεοῦ ἢ ἀνθρώπου, ὡς οὐσιαστ., πολεμιστής, 6. 98: — Ἀθηνᾶ Ἀρεία, Ἐπιγρ. Παρίου ἐν Συλλ. Ἐπιγρ. 3137. 70, πρβλ. 4393.— Τὸ μεταγ. συγκρ. **Ἀρειότερος** (ὃ ἴδε) ἐσχηματίσθη πιθανῶς ἐκ τοῦ **ἀρείων,** ὡς **χερειότερος** ἐκ τοῦ **χερείων.** **II.** ὡς ὄνομα κύρ., ὁ πασίγνωστος αἱρεσιάρχης Ἄρειος, Ἐκκλ.· ἐντεῦθεν, **Ἀρειᾶνός, -νῶς, Ἀρειᾶνίζω, -ᾶνικός, -ᾶνισμός, -ᾶνιστής** ἢ **-ίτης,** καὶ **-ᾶνόφρων,** περὶ ὧν ἴδε ἀνωτέρω ἐν τῇ θέσει ἑκάστης λέξεως.

Ἄρειος πάγος, ὁ, ὁ πάγος, δηλ. λόφος τοῦ Ἄρεως, ἀπέναντι τῆς δυτικῆς πλευρᾶς τῆς Ἀκροπόλεως τῶν Ἀθηνῶν, Ἀρήιος πάγος Ἡρόδ. 52· καὶ Ἄρεος πάγος (ἔνθα τὸ Ἄρεος εἶναι γεν. τοῦ Ἄρης) Σοφ. Ο. Κ. 947, πρβλ. Εὐρ. Ἠλ. 1258 καὶ 950· ἐν τῇ Λατινικῇ ὅμως Areopagus ἀπαντᾷ ἐν Κικέρωνι καὶ Βάρωνι. Ἐπὶ τοῦ λόφου τούτου συνήρχετο τὸ ἀνώτατον δικαστήριον, ὅπερ ἐδίκαζε τὰς φονικὰς δίκας, ἴδε Δημ. 271. 14. Κατὰ τὸν Πολυδ. Η', 117, «Ἄρειος πάγος· ἐδίκαζε δὲ φόνου καὶ τραύματος ἐκ προνοίας, καὶ πυρκαϊᾶς, καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς· ἐγίνετο δὲ διωμοσία, καὶ μετὰ τὴν διωμοσίαν κρίσις· προοιμιάζεσθαι δὲ οὐκ ἐξῆν, οὐδ' οἰκτίζεσθαι· μετὰ δὲ τὸν πρότερον λόγον ἐξῆν φυγεῖν, πλὴν εἴ τις γονέας εἴη ἀπεκτονώς· καθ' ἕκαστον δὲ μῆνα τριῶν ἡμερῶν ἐδίκαζεν ἐφεξῆς, τετάρτῃ φθίνοντος, τρίτῃ, δευτέρᾳ· οἱ δὲ ἐννέα ἄρχοντες, οἱ καθ' ἕκαστον ἐνιαυτὸν μετὰ τὸ δοῦναι τὰς εὐθύνας ἀεὶ τοῖς Ἀρεοπαγίταις προσετίθεντο, ὑπαίθριοι δὲ ἐδίκαζον. φόνου δὲ ἐξῆν ἐπεξιέναι μέχρις ἀνεψιῶν καὶ ἐν τῷ ὅρκῳ ἐπερωτᾶν τις προσήκων ἐστὶ τῷ τεθνεῶτι· κἂν οἰκέτης ᾖ, ἐπισκήπτειν συγκεχώρηται». Ὁ Ἄρειος πάγος κατ' ἀρχὰς εἶχε πολλὰ δικαιώματα πολιτικά τε καὶ θρησκευτικά, ἅπερ κατὰ τοὺς χρόνους τοῦ Περικλέους ἠλαττώθησαν μεγάλως· καλεῖται δὲ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, Ἐπιγρ. παλ. Ἀττ. ἐν τῇ Συλλ. Ἐπιγρ. 75, πρβλ. 123. 59, κ. ἀλλ., Δημ. 271.14, πρβλ. Λυσ. 176. 21, Ἀριστ. Ἀποσπ. 360· ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ ὁ αὐτ. Πολιτικ. 2.12, 2· ὡσαύτως, Ἀρεία βουλὴ Συλλ. Ἐπιγρ. 426· εἰς τὸν Ἄρειον πάγον ἀναβῆναι, μέλος γενέσθαι τοῦ δικαστηρίου, Ἰσοκρ. 147B, 265B· ἐν Ἀρ. πάγῳ δοῦναι δίκην Ἀριστ. Ρητ. 2. 23, 12· δίκαι ψευδομαρτυριῶν τῶν ἐξ Ἀ. πάγου ὁ αὐτ. Ἀποσπάσμ. 378. Τὴν μυθικὴν αὐτοῦ ἀρχὴν ἐκτίθησιν ὁ Αἰσχύλ. ἐν Εὐμ. 681, κἑξ.— περὶ τῆς ἱστορίας αὐτοῦ ἴδε Thirlw. Ἱστορ. τῆς Ἑλλ. τ. 2. σ. 49., τ. 3, σ. 23, καὶ Grote τ. 3. σ. 97·— τὸ σύνθ. **Ἀρειόπαγος** ἀπαντᾷ παρὰ μεταγεν. Ἀττ. ἐπιγρ. (Συλλ. Ἐπιγρ. 181.15), ἀλλ' οὐδεὶς δόκιμος συγγραφεὺς ποιεῖται χρῆσιν αὐτοῦ, Λοβ. Φρύν. 599·— εὑρίσκομεν ὅμως τὸ ὄνομα Ἀρεοπαγίτης (οὐχὶ Ἀρειο-, ὅπερ εἶναι μεταγεν., Λοβ. Φρύν. 698) παρ' Αἰσχίν. 11 ἐν τέλ., Συλλογ. Ἐπιγρ. 263, 372, κ. ἀλλ., Ἀριστ. Ἀποσπ. 366· παροιμ.. Ἀρεοπαγίτου σκληρότερος Θεμίστ. 263A, πρβλ. Ἀλκίφρ. 1.13:— Ἐπίθ., Ἀρεοπαγῖτις βουλὴ ὁ αὐτ. 2. 3· **Ἀρεοπαγῖτικός, ή, όν,** Στράβ. 260.

ἀρειότερος, α, ον, μεταγεν. τύπος τοῦ **ἀρείων,** Θεογν. 548, κτλ.

ἀρειότης, ητος, ἡ, (ἀρείων) ὑπεροχή, ἀρετή, Κύριλλ. Ἀλ. τ. 1. μέρ. 1. σ. 332C.

Ἀρεί-τολμος, ον, πολεμικός, φιλοπόλεμος, τολμηρός, Ἀνθ. Π. 9. 40.

ἀρείφᾰτος, Ἐπ. **ἀρηΐφατος, ον,** (*φένω, πέφαται) ὁ ὑπὸ τοῦ Ἄρεως φονευθείς, ὅ ἐ. φονευθεὶς ἐν πολέμῳ, Ἰλ. Τ. 31, κτλ.· φόνοι ἀρ. Εὐρ. Ἰκ. 603. **2)** βραδύτερον μεταπίπτει εἰς τὴν σημασ. τοῦ **ἄρειος,** πολεμικός, ἀρειφάτων .. ἀγώνων, ἀρείφατον λῆμα Αἰσχύλ. Εὐμ. 913, Ἀποσπ. 146· κόποι Ῥῆσ. 124.

ἀρείων [ᾰ], ὁ, ἡ, **ἄρειον,** τό, γεν. **ονος** ἐν χρήσει ὡς συγκρ. τοῦ **ἀγαθός,** πρβλ. **ἄριστος** : (ἴδε *ἄρω)· ἱκανώτερος, ἰσχυρότερος, γενναιότερος, ἐξοχώτερος, παρ' Ὁμήρ. ἐπὶ πάσης ὑπεροχῆς σώματος, καταγωγῆς ἢ πλούτου, ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέ περ ὑμῖν ἀνδράσιν ὡμίλησα Ἰλ. Α. 260· ὡσαύτως παρ' Ἡσ. ἐν Ἔργ. κ. Ἡμ. 205, Πινδ. Ν. 7. 149, καὶ Αἰσχύλ. Πρ. 420, Θήβ. 305, Ἀγ. 81· — σπάν. παρὰ πεζοῖς, ἃ ὑμῖν ἄρειον μὴ γνῶναι Ἀριστ. Ἀποσπ. 40.

ἄ-ρεκτος, ον, ποιητ. ἀντὶ **ἄρρεκτος,** ἀνεκτέλεστος, Ἰλ. Τ. 150, Σιμων. 111.

ἀρέομαι, Ἰων. ἀντὶ **ἀράομαι,** Ἡρόδ. **II.** ποιητ. μέλλ. τοῦ **αἴρομαι,** θὰ κερδήσω, θὰ νικήσω, Βοιχ. ἐν Πινδ. Π. 1. 75 (147).

Ἀρεο-παγίτης, ου, ὁ, ἴδε **Ἄρειος πάγος** ἐν τέλει.

Ἄρεος, α, ον, παράλληλος τύπος τοῦ **Ἄρειος,** Ἀρέα (ἐνν. κρήνη), ἡ πηγή, κρήνη τοῦ Ἄρεως, Πινδ. Π. 9. 97.

ἀρέσαι, ἀρέσασθαι, ἴδε τὸ ῥῆμα **ἀρέσκω.**

ἀρέσκεια, ἡ, (ἀρεσκεύω) ὁ χαρακτὴρ τοῦ **ἀρέσκου,** τὸ νὰ προσπαθῇ τις διὰ παντοίων τρόπων, συνήθως ταπεινῶν, νὰ φανῇ ἀρεστὸς εἴς τινα, «καλόπιασμα» μετὰ πολλῶν χαμερπῶν περιποιήσεων, Ἀριστ. Ἠθ. Ε. 2. 3, 7, Μεγ. Ἠθ. 1. 29, 1, Θεοφρ. Χαρακτ. 5· πᾶν ὅ,τι κολακεύει ἢ εὐχαριστεῖ τινα, εὐθέως ἡρμόσατο πρὸς τὴν τοῦ βασιλέως ἀρέσκειαν Πολύβ. 6. 2, 12. **2)** ἐπὶ καλῆς σημασίας, πρὸς θεὸν καὶ ἀρετὴν Φίλων 1. 168.

ἀρέσκευμα, τό, «καλόπιασμα», κολακευτικὴ πρᾶξις, Πλουτ. Δημήτ. 11.

ἀρεσκεύομαι, κάμνω φιλοφρονήσεις, μετέρχομαι παντοίους χαμερπεῖς τρόπους ὅπως φανῶ ἀρεστός τινι, «ταῖς μεταπεμψαμέναις ἀρεσκευόμεναι κλίμακα κατεσκεύαζον ἐξ ἑαυτῶν οὕτως ὥστε ... τὴν ἀνάβασιν γίγνεσθαι ... ταῖς ἐπὶ τῶν ἁμαξῶν ὀχουμέναις» Κλέαρχ. παρ' Ἀθην. 256D· οἱ μὲν ταῖς τῶν ἀρεσκευομένων ἡττώμενοι κολακείαις Πλούτ. 2. 4D· «ἀρεσκεύεσθαι· φιλοφρονεῖσθαι» Ἡσύχ.

ἀρεσκευτικός, ή, όν, κολακευτικός, Μ. Ἀντων. 1. 16.

ἀρεσκόντως, Ἐπίρρ. μετοχ. ἐνεργ. ἐνεστ. τοῦ **ἀρέσκω,** κατὰ τρόπον ἀρεστόν, Εὐρ. Ι. Τ. 463, 581, Πλάτ. Πολ. 504B.

ἄρεσκος, ὁ, ἡ, ὁ καθ' ὑπερβολὴν ἡδὺς τοὺς τρόπους οὐδεμιᾶς ὠφελείας ἕνεκα, ὁ προσπαθῶν διὰ παντοίων τρόπων, ἐνίοτε γελοίων, ὅπως φανῇ τοῖς ἄλλοις ἀρεστός, Ἀριστ. Ἠθ. Ν. 2. 7, 13., 4. 6, 1, Θεοφρ. Χαρ. 5: ἡ ῥάβδος τῶν πορνοβοσκῶν, Πολυδ. Α', 120, πρβλ. Ἡσύχ.

ἀρέσκω, καὶ παρατ. **ἤρεσκον,** Σοφ. καὶ Ἀττ. πεζ.: μέλλ. **ἀρέσω** Δημ. 1004. 13, Ἐπ. **ἀρέσσω** Ἀπολλ. Ῥόδ. (ἐν συνθέσ. **συν-**): ἀόρ. **ἤρεσα** Ἡρόδ., Ἀττ., Ἐπ. **ἄρεσσα** Ἀπολλ. Ῥόδ.· ἀπαρ. **ἀρέσαι** Ἰλ., Ξεν.· πρκμ. **ἀρήρεκα** Σέξτ. Ἐμπ. π. Μ. 1. 238:—Μέσ.. μέλλ. **ἀρέσομαι** Αἰσχύλ. Ἱκ. 655, Ἐπ. **ἀρέσσομαι** Ἰλ. Δ. 362: ἀόρ. **ἠρεσάμην,** Ἐπ. **ἀρ-** Ἡσ. Ἀσπ. 255, Ἐπ. μετοχ. **ἀρεσσάμενος** Ἰλ. Ι. 112, Θέογν. (πρβλ. **ἐξαρέσκομαι**): ἀόρ. παθ. **ἠρέσθη** Ἰώσηπ. ἔνθα κατωτ., **ἀρεσθεὶς** Παυσ. ἔνθα κατωτέρω, μετὰ μέσ. σημασ. **ἀρεσθείη** Σοφ. Ἀντ. 500:—(Περὶ τῆς ῥίζης ἴδε *ἄρω). **1)** μετὰ προσωπικοῦ ὑποκειμένου, ἐπανορθῶ τὸ ἄτοπον ὅπερ ἔπραξα, συμβιβάζω τὸ πρᾶγμα, ἂψ ἐθέλω ἀρέσαι, «εἰς ἀρέσκειαν ἐλθεῖν φιλοφρόνως» (Σχόλ.) Ἰλ. 1. 120., Τ. 138:— οὕτως ἐν τῷ μέσ., ἀλλ' ἴθι, ταῦτα δ' ὄπισθεν ἀρεσσόμεθα, «ταῦτα ἐν τῷ μετὰ ταῦτα χρόνῳ ἐξιλεωσόμεθα, θεραπεύσομεν» (Σχόλ.), Δ. 362, πρβλ. Ὀδ. Χ. 55· σπονδὰς θεοῖς ἀρέσασθαι Θέογν. 760. **2)** παρ' Ὁμήρῳ ὡσαύτως ἐν μέσ. τύπ. μετ' αἰτιατ. προσ. καὶ δοτ. τρόπου, καθησυχάζω, καταπραΰνω, ἀνακτῶμαι τὴν εὔνοιάν τινος, αὐτὸν ἀρεσσάσθω ἐπέεσσιν καὶ δώρῳ Ὀδ. Θ. 396, (οὕτω, 402, τὸν ξεῖνον ἀρέσσομαι ὡς σὺ κελεύεις)· ὥς κέν μιν ἀρεσσάμενοι πεπίθωμεν δώροισι Ἰλ. Ι. 112, πρβλ. 19. 199· καθαροῖσι βωμοῖς θεοὺς ἀρέσονται Αἰσχύλ. Ἱκ. 655· μετὰ γεν. πράγμ., ἀρέσαντο φρένας αἵματος, ἐκόρεσαν τὴν καρδίαν των δι' αἵματος, Ἡσ. Ἀσπ. 255. **3)** μεθ' Ὁμ., μετὰ δοτ. προσ. εὐχαριστῶ, εὐαρεστῶ, ἱκανοποιῶ, οὐ γάρ μοι Πολυκράτης ἤρεσκε δεσπόζων Ἡρόδ. 3. 142· δεῖ μ' ἀρέσκειν τοῖς κάτω Σοφ. Ἀντ. 75, πρβλ. 89· ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσιν, νὰ εἶναί τις ἀρεστός, περιποιητικός, κολακευτικός, Εὐρ. Ἀποσπ. 94· ἀρέσκειν τρόποις τινός, συμμορφοῦσθαι πρὸς τοὺς τρόπους τινός, Δημ. 1406. ἐν τέλ.· τὸ γὰρ κολακεύειν νῦν ἀρέσκειν ὄνομ' ἔχει Ἀναξανδρίδης ἐν «Σαμίᾳ» 1· πρβλ. **ἄρεσκος**: — ὡσαύτως κατὰ μέσ. τύπον, μάλιστα ἠρέσκοντο [αὐτῷ] οἱ ἀπ' Ἀθηνέων ἀπιγμένοι, πρὸ πάντων ἦσαν αὐτῷ ἀρεστοὶ οἱ ἐξ Ἀθηνῶν ἐλθόντες, Ἡρόδ. 6. 128. **II.** ἔχον ὡς ὑποκείμενον πρᾶγμά τι, μετὰ δοτ. προσώπ., ταῦτα ἀρέσκει μοι Ἡρόδ. 1. 89· κάρτα οἱ ἤρεσε ἡ ὑποθήκη ὁ αὐτ. 8. 58, πρβλ. 3. 40., 6. 22· οὕτω παρ' Ἀττ. τῷ ταὔτ' ἤρεσεν; Σοφ. Ἠλ. 409· σοὶ ταῦτ' ἀρέσκει ὁ αὐτ. Ἀντ. 211, κτλ.· τοῖς .. πρέσβεσιν ἤρεσκεν [ἡ πρότασις], ἤρεσκεν αὐτοῖς, Θουκ. 5. 37, πρβλ. Πλάτ. Θεαίτ. 157D κ. ἀλλ.:—ἐν Σοφ. Ἀντ. 500· ὁ παθ. ἀόρ. βεβαίως ἔχει τὴν αὐτὴν ἔννοιαν, μηδ' ἀρεσθείη ποτὲ (ἐνν. μηδὲν τῶν σῶν λόγων), ἴδε διεξοδικὴν σημείωσιν τοῦ Jebb ἐν τόπῳ. **III.** παρ' Ἀττ. ὡσαύτως μετ' αἰτ. προσ., οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη Σοφ. Αἴ. 584· οὐδέ σ' ἀρέσκει τὸ παρὸν Εὐρ. Ἱππ. 185, πρβλ. Ὀρ. 210· τουτὶ μ' οὐκ ἀρέσκει Ἀριστοφ. Πλ. 353, πρβλ. Ἀχ. 189, Βατρ. 103, Θουκ. 1. 128· πότερός σε ὁ τρόπος ἀρ. Πλάτ. Κρατ. 433E, πρβλ. 391C, Πολ. 557B, Θεαίτ. 172D: — ἐντεῦθεν ἡ τοῦ παθ. χρῆσις, ἀρέσκομαι, εὐχαριστοῦμαι, ἱκανοποιοῦμαι, εἶμαι εὐχαριστημένος, τῇ κρίσει, μὲ τὴν ἀπόφασιν, Ἡρόδ. 3. 34· δίαιτῃ Σκυθικῇ 4. 78, πρβλ. 7. 160., 9. 66· τοῖς λόγοις Θουκ. 1. 129, πρβλ. 2. 68· τῇ σῇ συνουσίᾳ Πλάτ. Θεαίτ. 127B· μεταγεν. κατ' ἀόρ., ἠρέσθη τῇ γνώμῃ Ἰωσήπ. Ἀρχ. Ι. 12,

9, 6· ἀρεσθεὶς τῷ πώματι Παυσ. 2. 13, 8. **IV.** τὸ ἀρέσκει, κεῖται ὡς τὸ Λατ. placet, πρὸς δήλωσιν τῆς γνώμης ἢ ἀποφάσεως δημοσίου τινὸς σωματείου, ταῦτα ἤρεσέ σφι ποιέειν Ἡρόδ. 8. 19· ἣν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις Εὔπολ. (;) ἐν Ἀδήλ. 143. 20· ἀρέσκει .. εἶναι Δελφῶν, ἀπεφασίσθη ὅτι .., Συλλ. Ἐπιγρ. 1711. 10·—οὕτως ἐν τῷ μέσῳ τύπῳ, ἐξεῖναι παρ' ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν Θουκ. 1. 35. **V.** μετ. **ἀρέσκων, ουσα, ον,** ἀρεστός, εὐπρόσδεκτος, ὅσοις τάδ' ἔστ' ἀρέσκοντ' Σοφ. Ο. Τ. 274· ἀρέσκον λέγειν Θουκ. 3. 34· ἀρέσκοντας ὑμῖν λόγους Ἰσοκρ. 159D· τὰ ἀρέσκοντα ἢ ἀρέσαντα, Λατ. placita, τὰ ἀρέσκοντα τοῖς φιλοσόφοις δόγματα, Πλούτ. 2.348A, 1006C. **2)** ἐπὶ προσ., εὐαρεστῶν, δημοτικός, τῇ πόλει ἀρ. Λυσ. 153. 8, πρβλ. Πλάτ. Νόμ. 951E.

ἀρέσμιον, τό, μισθὸς διδόμενος εἰς τοὺς ἱεροταμίας διὰ τὰς γινομένας θυσίας, λανβανέτω [δ]ὲ ὁ ἱεροταμίας ἀρέσμιον ὃ τ[οὶ ἄ]ρχοντες ἐλάμβανον, ἡμι[μ]ναῖον καὶ τῶν χοῶν τὸ ἐπ[ίδ]αλὸν τῷ ἱεροταμίαι. Πρβλ. Κουμ. Συναγ. Λ. Ἀθ., ὅστις εσφαλμένως λέγει: «πιθανῶς ταὐτὸ τῷ ἀρεστήρ».

ἀρεστέον, ῥηματ. ἐπίθ., δεῖ ἀρέσκειν, μετ' ἀπαρεμφ., Τζέτζ. Ἱστ. 8. 212.

ἀρεστήρ, ῆρος, ὁ, εἶδος πλακοῦντος προσφερομένου τοῖς θεοῖς ὡς ἱλαστήριος προσφορά, Πολυδ. ς', 76, Α. Β. 215, 29:—**ἀρεστήριος, α, ον,** ἱλαστήριος, θυσίαι Διον. Ἁλ. 1. 67·— ὡσαύτως **ἀρεστής, οῦ,** ὁ, Ἐτυμολ. Μ. 138. 57 ἐν λέξει **ἀρεστήρ.**

ἀρεστός, ή, όν, ῥηματ. ἐπίθ. τοῦ **ἀρέσκω,** ἀρεστὸς ὡς καὶ νῦν, Σιμων. Ἰαμβ. 6. 46, Ἡρόδ. 1. 119, κτλ.· ἐμοὶ οὐκ ἀρεστὰ ὁ αὐτ. 2. 64· ὡς ἐμοὶ τῶν σῶν λόγων ἀρεστὸν οὐδὲν μηδ' ἀρεσθείη ποτὲ Σοφ. Ἀντ. 500, πρβλ. Ο. Τ. 1096· πρβλ. **ἀρέσκω** II. 1· τὰ ἀρεστὰ ὑμῖν αὐτοῖς αἱρεῖσθαι Λυσ. 141. 2:—ἐπὶ προσ., εὐπρόσδεκτος, εὐάρεστος, Ξεν. Κύρ. 2. 3, 7, κτλ.—Ἐπίρρ., ἑωυτῷ ἀρεστῶς, ὅπως ἤθελε, κατὰ τὴν ἀρέσκειάν του, Ἡρόδ. 6. 129.

ἀρεταίνω = ἀρετάω, Ἡσύχ., Εὐστ. 1599. 32.

ἀρετᾱλογία, ἡ, ἀστεϊσμός, Μανέθ. 4. 447. **II.** ἐν Σειρὰχ λς', 14, ἡ λέξις φαίνεται ἔχουσα τὴν κυρίαν αὐτῆς σημασίαν, λαλεῖν περὶ ἀρετῆς ἢ ἐπαινεῖν τὴν ἀρετήν, πλῆσον Σιὼν ἀρεταλογίας σου.

ἀρετᾱλόγος, ὁ, (ἀρετή, λέγω) ὁ ἀεὶ περὶ ἀρετῆς λαλῶν φλυάρως· οἱ ἀρεταλόγοι ἦσαν πτωχοὶ φιλόσοφοι ἀεὶ ἐν ταῖς τραπέζαις τῶν πλουσίων Ρωμαίων βωμολοχοῦντες περὶ ἀρετῆς καὶ προξενοῦντες γέλωτα εἰς τοὺς ἑστιωμένους ὡς οἱ γελωτοποιοὶ τῶν βασιλέων· ἦσαν δὲ συνήθως κυνικοὶ ἢ στωϊκοὶ φιλόσοφοι τοῦ χειρίστου εἴδους, Casaub. εἰς Σουητωνίου βίον Αὐγ. 74, Ἰουβ. 15, 16· πρβλ. **ἠθολόγος.**

ἀρετάω, μέλλ. **-ήσω,** προκόπτω, τελεσφορῶ, εὐδαιμονῶ, οὐκ ἀρετᾷ κακὰ ἔργα Ὀδ. Θ. 329· λαοὶ ἀρετῶσι Τ. 114· ὡσαύτως παρὰ μεταγεν. πεζοῖς, ἀρετῶσα γῆ, ἐπὶ γῆς ἀγαθῆς εἰς καρπογονίαν, Φίλων 2. 372· ἀρετῶσα διάνοια, γόνιμος, 2. 280.

ἀρετή [ᾰ], ἡ, (ἴδε **Ἄρης** ἐν τέλ., * **ἄρω**): — ὑπεροχή, τελειότης, ἱκανότης παντὸς εἴδους, ἀλλὰ παρ' Ὁμ. κυρίως ἐπὶ ἀνδρικῶν ἀρετῶν (ὡς τὸ Λατ. vir-tus, ἀνδρεία, ἀρετή), ποδῶν ἀρετὴν ἀναφαίνων Ἰλ. Υ. 411· ἀμείνων παντοίας ἀρετὰς ἠμὲν πόδας ἠδὲ μάχεσθαι καὶ νόον Ο. 642· οὕτως ἐπὶ τῶν θεῶν, τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε Ι. 498· οὕτω μετέπειτα, ἀρετῆς ἕνεκα, τῆς ἀνδρείας ἢ γενναιότητος αὐτοῦ ἕνεκα, Ἡρόδ. 8. 92· πλ. ἀρετὰς ἀπεδείκνυντο, ἐπεδείκνυον γενναῖα κατορθώματα, 1. 176., 9. 40. **2)** εὐγένεια ἐκ καταγωγῆς, τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος Θέογν. 30, κτλ.· ἡ διὰ τῆς φιλεργίας κτωμένη εὐδοξία καὶ τιμή, πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ Ἡσ. Ἔρ. κ. Ἡμ. 311· πρβλ. **ἀγαθός.** **3)** ἐν τῷ πεζῷ λόγῳ ἐν γένει, προτέρημα, πλεονέκτημα, ἀξιότης, ἡ ὑπεροχή τινος εἰς τὸ εἶδός του (Ἀριστ. Μεταφ. 4. 16, 3, Ἠθ. Ν. 2. 6, 2)· ἐπὶ τῆς γονιμότητος χώρας τινός, Ἡρόδ. 4. 198., 7. 5, Θουκ. 1. 2· ἐπὶ ζώων, τοῦ ἵππου Ἡρόδ. 3. 88· κυνῶν, ἵππων Πλάτ. Πολ. 335B· ἐπὶ πραγμάτων, σκεύους αὐτόθι 601D· ἐπὶ ἀσταχῶν, Ἀρχέστρ. παρ' Ἀθην. 105A· ἐπὶ τῆς τάξεως ἢ τοῦ ἐπαγγέλματος τῶν ἀνθρώπων, δικαστοῦ αὕτη ἀρετὴ Πλάτ. Ἀπολ. 18A· ἀρετὴ δημιουργική, πολιτική, κυβερνητικὴ ὁ αὐτ. Πρωτ. 322D, E, Ἀλκ. I. 135A· ὡσαύτως, ἀρετὴ βίου ὁ αὐτ. Πολ. 618C· πολιτείας Νόμ. 886B, κτλ. **4)** ἡ σημασία τῆς λέξεως παρ' Ἀττ. ἐξηκολούθει ὑπάρχουσα ὡς καὶ ἡ τῆς Λατ. virtus, μετ' ἐννοίας δηλούσης μᾶλλον ἐνεργητικὴν ὑπεροχὴν ἢ καθαρῶς ἠθικὰς ἀρετάς, πὺξ ἀρετὰν εὑρόντα Πινδ. Ο. 7. 163, πρβλ. Π. 4. 331, Ξεν. Ἀπομν. 2. 1, 21, κἑξ.· ἀρετὴ τεκτονική, κυβερνητική, ἐπὶ ὑπεροχῆς ἢ δεξιότητος ἐν τέχνῃ τινί, Πλάτ. Πρωτ. 322D, Ἀλκ. I. 135A·— στενῶς πρὸς τὴν σημασίαν ταύτην συνδέεται ἡ ἰδέα τῆς διακρίσεως, ὥστε ἡ λέξις ἀρετὴ φαίνεται ὑποδηλοῦσα τὴν ἔννοιαν φήμης ἢ ἐπαίνου δι' ὑπεροχήν τινα, Σοφ. Φ. 1420, Θουκ. 1. 33· ἀρετὴ καὶ δόξα Πλάτ. Συμπ. 208D· οὕτω, γενναίων ἀρεταὶ πόνων, λαμπρότης γενναίων ἔργων, κατορθωμάτων, Εὐρ. Ἡρ. Μαιν. 357, πρβλ. Λυσ. 193. 12· ἀρεταί, γενναῖαι πράξεις, Πλάτ. Πολ. 618B. **II.** παρὰ φιλοσοφικοῖς συγγραφεῦσι κυρίως ἐδήλου τὴν ἠθικὴν ἰδέαν τῆς ἀρετῆς, Πλάτ. Πολ. 500D, Νόμ. 963C, κἑξ., Δημ. 1394. 4, Ἀριστ. Ἠθ. Ν. 1. 13, Πολ. 4. 11, 3, κ. ἀλλ. **III.** ὑπηρεσία, καὶ τῆς ἀρετῆς τῆς εἰς τοὺς Ἕλληνας, καὶ διὰ τὰς ὑπηρεσίας ἡμῶν ὑπὲρ τῶν Ἑλλήνων, Θουκ. 3. 58, πρβλ. 2. 40· οὕτω, τῆς πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς Ξεν. Ἀν. 1. 4, 8· πρβλ. ἀνταποδοῦναι ἀρ. Θουκ. 4. 19· ἀρετὰς παρασχέσθαι ὑπέρ τινος Δημ. 441. 19. **IV.** τὰ χαρίσματα τῆς ἀρετῆς, τὰ προσόντα τῆς ἀρετῆς, Ἑβδ. (Ἡσαΐας μβ', 8, μγ', 21).

ἀρετή [ᾱ], κατὰ κρᾶσιν ἀντὶ **ἡ ἀρετή,** Αἰσχύλ. Ἀγ. 1357.

ἀρετη-φόρος, ον, ἐνάρετος, Φιλοδήμ. Ρητ. σ. 74. 8, ἔκδ. Gros, πρβλ. αὐτόθι 163.

ἀρετόομαι, παθ., γίνομαι ἐνάρετος, προκόπτω ἐν τῇ ἀρετῇ, κατ' ἀντίθεσιν πρὸς τὸ **κακύνομαι,** ἡ ψυχὴ τοῖς μὲν χείροσιν ὀρέξεων εἴδεσι κακυνομένη, τοῖς δὲ κρείττοσιν ἀρετουμένη Σιμπλίκ. εἰς Ἐπίκτ. σ. 37. 2.

Ἄρευς, ὁ, Αἰολ. ἀντὶ **Ἄρης,** Ἀλκαῖος 28. 31, πρβλ. Koen. ἐν Γρηγ. Κορίνθου σ. 194.

ἄρηαι, Ἐπ. β' ἑν. πρόσ. ὑποτ. μέσ. ἀόρ. β' τοῦ **αἴρω,** Ἰλ., Ἡσ.

ἀρηγοσύνη, ἡ, βοήθεια, ἐπικουρία, Ἀνθ. Π. 9. 788, παράρτ. 333.

ἀρήγω [ᾰ]: μέλλ. **-ξω,** βοηθῶ, ἔρχομαι εἰς ἐπικουρίαν, συντρέχω, τινὶ Ἰλ. Β. 363, κ. ἀλλ. (οὐδαμοῦ ἐν Ὀδ.)· ἀείποτε βοηθῶ τινα ἐν πολέμῳ, συχν. μετὰ δοτ. προσ. καὶ τρόπου, μάχῃ Τρώεσσιν ἀρήγειν Ἰλ. Α. 521., Ε. 507· καί μοι ὄμοσσον, ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν Α. 77· καθόλου, ἐπικουρῶ, βοηθῶ, ἐκ δ' ἄρ' ἄτλατον βέλος πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει, φοβερὸς τρόμος κατέλαβε τὰς γυναῖκας, ὅσαι ἔτυχον περὶ τὴν θεραπείαν τῆς Ἀλκμήνης καὶ τὴν κοίτην, Πινδ. Ν. 1. 73, πρβλ. Π. 2. 115· θνητοῖς Αἰσχύλ. Πρ. 267, καὶ συχν. παρὰ Τραγ. καὶ ἐν χωρίοις, ἐν οἷς παρῳδοῦνται οἱ Τραγικοὶ ὑπὸ τῶν κωμ., γυναῖκες, οὐκ ἀρήξετ'; Ἀριστοφ. Θεσμ. 696, πρβλ. Πλ. 475· σπάν. ἐν τῷ πεζῷ λόγῳ, ὁ ναυτικὸς τῷ πεζῷ ἀρήξει Ἡρόδ. 7. 236· τοῖς φίλοις ἀρ. Ξεν. Κύρ. 1. 5, 13· συντελῶ πρὸς ἴασιν νόσου τινός, Ἱππ. Προρρ. 108, πρβλ. 395. 6. **2)** ἀπρόσ. μετ' ἀπαρ., ὡς τὸ Λατ. juvat, φέρειν ἀρήγει, «συμβάλλεται» (Σχόλ.), Πινδ. Π. 2. 173· προσήκει, σιγᾶν ἀρήγει Αἰσχύλ. Εὐμ. 571. **II.** μετ' αἰτ. προσ., ἀποκρούω, ἐμποδίζω, ἄρηξον .. ἅλωσιν Αἰσχύλ. Θήβ. 119· ὡσαύτως ὡς τὸ ἀρκέω, ἀρ. τινί τι, ἀποτρέπω, προλαμβάνω καὶ ἐμποδίζω τι, σπεύδω ὅπως σώσω τινὰ ἐκ κινδύνου, ἀρῆξαι φόνον δοκεῖ μοι τέκνοις Εὐρ. Μήδ. 1275, πρβλ. Τρῳ. 772. (Συγγενὲς τῷ **ἀρκέω,** arceo, ἴδε ἐν λέξει **ἀλαλκε.**)

ἀρηγών, όνος, ὁ, ἡ, ἀρωγός, βοηθός, Ἰλ. Δ. 7, Ε. 511· ἐν τῷ θηλ., ἐν δὲ τῷ ἀρσ. ἐν Βατραχομ. 280, κτλ.· ἀρηγόνος ἡνιόχοιο Ὀππ. Ἁλ. 5. 108.

Ἀρηΐ-θοος [ᾰ], **ον,** ταχὺς ὡς ὁ Ἄρης, ταχὺς ἐν πολέμῳ, ὁρμητικός, Ἰλ. Θ. 298, Ο. 315.

ἀρηϊκτάμενος [ᾰ], **η, ον,** (κτείνω) πεφονευμένος ὑπὸ τοῦ Ἄρεως, Ἰλ. Χ. 72.

Ἀρήϊος [ᾰ], **η, ον,** καὶ **ος, ον,** Ἰων. ἀντὶ **Ἄρειος** Ὅμ.·— ἰδιόρρυθμον θηλυκόν, **Ἀρηϊάς, άδος** Κόϊντ. Σμ. 1. 187.

ἀρηΐ-φατος [ᾰ], **ον,** Ἰων. ἀντὶ **ἀρείφατος** Ὅμ. Ἰλ. Τ. 31.

ἀρηΐ-φθορος, ον, ὁ ὑπὸ τοῦ Ἄρεως φθαρείς, ἐν πολέμῳ, πτώματα ἀρηΐφθορα Κορνούτου π. θεῶν Φύσεως 21.

ἀρηΐ-φιλος [ᾰ], **η, ον,** ἀγαπητὸς εἰς τὸν Ἄρην, εὐνοούμενος ὑπὸ τοῦ Ἄρεως, τοῦ θεοῦ τοῦ πολέμου, συνήθεστ. ἐπίθ. τῶν πολεμιστῶν παρ' Ὁμ. ὡς ἐν Ἰλ. Β. 778, πρβλ. Ἡσ. Θ. 317, Πινδ. 1. 7 (8). 53, κτλ.· ἐπὶ τοῦ ποταμοῦ Θερμώδοντος, Τρυφ. 33.

ἀρήμεναι, ἴδε τὸ ῥῆμα **ἀράομαι.**

ἀρημένος, η, ον, ἴδε **ἀράω.**

ἀρήν, Ϝαρήν, ἡ ὀνομαστικὴ τοῦ **ἀρνός,** καὶ Ϝαρην (ϜΑΡΕΝ) τυτυι ἔτι δὲ φοῖρος Ἐπιγρ. Γόρτ. Κρήτ. 12—13 Comp., Ἡρακλεῖ ἐς Κο[νισαλο]ν ἀρὴν καυτὸς Cos. 3638, ἴδε ἐν λέξει **ἀρνός.**

ἀρῆνα, ἡ, τὸ, Λατ. arena, ἡ ἄμμος, «ἀρῆναν δέ μοι γίνωσκε τὴν ἄμμον ὀνομάζειν» Τζέτζ. Ἱστ. 5. 708· θηριομαχεῖον, Ἀπόκρυφ. Πράξ. Παύλ. καὶ Θέκλ. 36.

ἀρηνοβοσκός, ὁ, = **προβατοβοσκός,** «ἀρηνοβοσκὸς ὁ προβατοβοσκὸς κατὰ Παυσανίαν, ἐκ μέρους δηλαδή» Εὐστ. Ἰλ. 799. 35.

ἄρηξις, εως, ἡ, **ἀρήγω,** βοήθεια, συνδρομή, τινος, παρά τινος, Αἰσχύλ. Πρ. 547, Σοφ. Ο. Κ. 829. **II.** μετὰ γεν. πράγμ., βοήθεια, ἐναντίον τινός, μέσα πρὸς ἀποτροπὴν αὐτοῦ, π. χ. πημάτων Σοφ. Ἠλ. 876.

ἀρηρα, ἀρήρειν, ἀρηρεμένος, ἴδε τὸ ῥῆμα **ἀραρίσκω.**

ἀρηρομένος, η, ον, ἴδε τὸ ῥῆμα **ἀρόω.**

Ἄρης, ὁ, Ἐπ. γεν. **Ἄρεος,** Ἀττ. **Ἄρεως** Αἰσχύλ. Θήβ. 64, Εὐρ. Ἠλ. 1258· ἀλλ' **Ἄρεος** (οὐδέποτε συνηρ.) ἀπαιτεῖται ὑπὸ τοῦ μέτρου ἐν Αἰσχύλ. Θήβ. 115, Σοφ. Ο. Κ. 947, Ἀντ. 125, Ἠλ. 1423, καὶ τρὶς ἐν Εὐρ.: δοτ. **Ἄρεϊ,** συνηρ. **Ἄρει**: αἰτ. **Ἄρεα** Σοφ. Ο. Τ. 190 (λυρ.), Ἀττ. **Ἄρη** (οὐδέποτε **Ἄρην,** ὅπερ φαίνεται νὰ εἶναι σφάλμα τῶν ἀντιγραφέων, διότι οὐδέποτε ἀπαιτεῖται ὑπὸ τοῦ μέτρου, καὶ ἐν Ἰλ. Ε. 909 ἡ ὀρθὴ γραφὴ ἴσως εἶναι **Ἄρη**'): κλητ. **Ἄρες,** Ἐπ. (χάριν τοῦ μέτρου) **Ἆρες**:—Ἰων. καὶ Ἐπ. κλίσις: **Ἄρης, ηος, ηι, ηα**: —Αἰολ. **Ἄρευς, ευος, ευι, ευα, ευ,** Ἀλκαῖος 20—23 Ahr.—Ὁ Ἄρης, ὁ ὑπὸ τῶν Λατίνων καλούμενος Mars, ὁ

υἱὸς τοῦ Διὸς καὶ τῆς Ἥρας, καὶ θεὸς τοῦ πολέμου καὶ τῶν σφαγῶν, παρίσταται ὑπὸ τοῦ Ὁμ. ὡς γιγαντώδης πολεμιστής, παρὰ δὲ τοῖς Τραγ. ὡς θεὸς τῆς καταστροφῆς, ἐν γένει, ὁ αἴτιος τοῦ λοιμοῦ, Σοφ. Ο. Τ. 190, κτλ.· οὕτως, ἐς Οἰδίπου παῖδε .. Ἄρης κατέσκηψ' Ἀριστοφ. Ἀποσπ. 471· παρὰ κωμ., Ἄρεως νεοττὸς Ὄρν. 385. **2)** ὁ πλανήτης Ἄρης Ἀριστ. Οὐρ. 2.12, 3. **II.** παρὰ ποιηταῖς ὡς προσηγορικόν, πόλεμος, μάχη, διαφωνία, ἔρις, σφαγή, φόνος, ἵνα ξυνάγωμεν Ἄρηα, ἵνα συνάψωμεν μάχην, Ἰλ. Β. 381· Ἄρη μίξουσιν Σοφ. Ο. Κ. 1046· χρονίῳ σὺν Ἄρει Πινδ. Π. 11. 55· Ἄρης ἐμφύλιος, Ἄρης τιθασὸς Αἰσχύλ. Εὐμ. 863, 355· θηλυκτόνῳ Ἄρει δαμέντων Αἰσχύλ. Πρ. 861· ναύφρακτος Ἄρης ὁ αὐτ. Πέρσ. 961· λιθόλευστον Ἄρη, θάνατον διὰ λιθοβολίας, (πρβλ. τὴν λέξιν **δημόλευστος**), Σοφ. Αἴ. 254· ἔνθα μάλιστα γίγνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι, ἐπὶ θανατηφόρου τραύματος, Ἰλ. Ν. 569. **2)** φιλοπόλεμον μένος, Αἰσχύλ. Ἀγ. 78, Εὐρ. Φοίν. 134· κἀν γυναιξὶν .. Ἄρης ἔνεστιν Σοφ. Ἠλ. 1242, πρβλ. Ἀντ. 952· μέγαν ἐκ θυμοῦ κλάζειν Ἄρη Αἰσχύλ. Ἀγ. 48· βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη Ἀριστοφ. Πλ. 328· Ἄρη βλέπων Τιμοκλῆς ἐν «Ἥρωσιν» 1, 7. **3)** σίδηρος, Ἀνθ. Π. 7. 531, πρβλ. Πλούτ. 2. 23C. (Ἡ √ΑΡ φαίνεται ὡσαύτως ἐν τοῖς **ἀρι-, ἀρετή, ἀρείων, ἄριστος.** καθ' ὅσον ἡ πρώτη ἰδέα τοῦ ἀγαθοῦ ἢ τῆς ἀρετῆς (vir-tus) ἦτο ἐν τῇ ἀνδρείᾳ, ἐν τῇ ἐν πολέμῳ γενναιότητι, ἴδε ***ἄρω.** Ὁ Μ. Müller, Sc. of L. 2. σ. 233, νομίζει πιθανὸν ὅτι τὰ ὀνόματα Ἄρης καὶ Mars εἶναι ἓν καὶ τὸ αὐτό, καὶ ἀναφέρει αὐτὰ εἰς τὴν Σανσκρ. √MAR (φοβῶ).) [ᾰ παρ' Ὁμ., ἀλλὰ τὸ α τῆς κλητ. δυνατὸν νὰ εἶναι μακρὸν ἐν ἄρσει, π. χ. Ἆρες, Ἆρες βροτολοιγὲ Ἰλ. Ε. 31, καὶ ἡ γεν. **Ἄρηος** ἔχει ᾱ ἐν Ἰλ. Β. 767, πρβλ. Καλλ. εἰς Δία 77, Ἀπολλ. Ῥόδ. Β. 991., Γ. 183: — παρὰ Τραγ. κανονικῶς ᾰ, ἀλλ' ὁ Αἰσχύλ. μεταχειρίζεται ᾱ ἔτι καὶ ἐν τοῖς διαλόγοις, ὡς ἐν Ἑπτ. ἐπὶ Θήβ. 244, 469· καὶ Σοφ. ἐν λυρικοῖς χωρίοις ὡς ἐν Αἴ. 252, 614, καὶ ἐν Ἀντ. 139].

ἀρήτειρα [ᾱρ], ἡ, θηλ. τοῦ ἑπομ. Καλλ. εἰς Δήμ. 43, Ἀπολλ. Ῥόδ. Α. 312, κτλ,

ἀρητεύω, εἶμαι ἀρητήρ, ἱερεύς, κατὰ τὸν Le Bass, ἀρήτευε Λέων [β]ωλᾶς σωτέρας SGDI 3237, ἀρήτευε δαμιοργῶν Δελφίων Τ[ι]μοκρίτου Δαιφοντεὺς 3315, κατὰ τὴν Helen M. Searles ἴσως σημαίνει ἀγορεύω, δημηγορῶ (Studies in Class. Philol.)· ἀλλ' ὁ Τσούντας ἐν Ἐφημ. Ἀρχ. 1887, 15.7 σχετίζει τὴν λέξιν πρὸς τὸ **ἀριστεύω.**

ἀρητήρ [ᾱ], **ῆρος**, ὁ (ἀράομαι) ὁ εὐχόμενος, ποιητ. ἀντὶ τοῦ **ἱερεὺς** (Ἀριστ. Ποιητ. 21.17), Ἰλ. Α. 11., Ε. 78, κ. ἀλλ, ὡσαύτως ἐν ἐμμέτρ. ἐπιγρ., Ἐπιγράμμ. Ἑλλ. 800, 827, 873· πληθ., 406. 10.

ἀρητήριον [ᾱ], τό, τόπος προσευχῆς, εὐκτήριον, Πλουτ. Θησ. 35.

ἀρητός, ή, όν, Ἰων. ἀντὶ **ἀρᾱτός: Ἀρήτη**, ἡ, ὄν. κύρ., Ὀδ. Η. 54, κτλ.

ἀρητυμένος, ἐσφαλμένη γραφ. ἀντὶ **ἀρυτημένος**: ἴδε **ἀρύτω.**

ἄρθεν, Ἰλ., ἴδε τὸ ῥῆμα **ἀραρίσκω.**

ἀρθμέω: μέλλ. **-ήσω**, ἀμετάβ., συναρμόζω, συνδέω, ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε, «τῷ ὄντι δὲ διεχωρίσθησαν ἐν φιλίᾳ ἁρμοσθέντες καὶ συμβιβασθέντες» (μετάφρ. Θ. Γαζῆ)· «εἰς ἀρθμόν, ἤγουν ἁρμονίαν φιλικὴν ἐλθόντες ἀλλήλοις» (Εὐστ.) Ἰλ. Η. 302· ὁ Ἀπολλ. Ῥόδ. ἔχει ἀρθμηθέντες ἐπὶ τῆς αὐτῆς ἐννοίας, Α. 1344.

ἄρθμιος, α, ον, ἡνωμένος, οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν, φίλοι πρὸς ἡμᾶς, σύμμαχοι ἡμῶν, Ὀδ. Π. 427· οὕτω παρ' Ἡροδ. 7.101, κ. ἀλλ.· ἄρθμιος ἠδὲ φίλος Θέογν. 1312· **ἄρθμια**, τά, εἰρηνικαὶ σχέσεις, φιλία, τέως μὲν δή σφι ἦν ἄρθμια ἐς ἀλλήλους, ἐκ τούτου δὲ πόλεμος Ἡρόδ. 6. 83.

ἀρθμός, ὁ, (***ἄρω**) δεσμός, σύνδεσμος, συμμαχία, φιλία, ἀρθμῷ καὶ φιλότητι Ὕμν. Ὁμ. εἰς Ἑρμ. 524, πρβλ. Αἰσχύλ. Πρ. 191, Καλλ. Ἀποσπ. 199.

ἀρθρ-έμβολα, τά, (ἐμβάλλω) χειρουργικὰ ἐργαλεῖα χρήσιμα διὰ τὰς ἐξαρθρώσεις, Γαλην. τ. 14, σ. 781. 5· ἀλλὰ κεῖται ὡσαύτως καὶ ἐπὶ στρεβλωτικῶν βασανιστηρίων ὀργάνων, Ἰωσήπ. Μακκ. 8. 12.

ἀρθρεμβολέω, τοποθετῶ ἄρθρα τοῦ σώματος ἐξηρθρωμένα, Math. Vett. σ. 10.

ἀρθρεμβόλησις, εως, ἡ, ἡ ἐμβολή, τοποθέτησις ἄρθρου, Ἀπολλ. Κιτ. σ. 2· ὡσαύτως **-βολία**, ἡ, Ὀρειβάσ. 138 Mai.

ἀρθρίδιον, τό, ὑποκορ. τοῦ **ἄρθρου**, Μ. Ἀντων, 4. 3.

ἀρθρικός, ή, όν, (**ἄρθρον I.**) ὁ ἀφορῶν τὰ ἄρθρα, ἴδε Γαλην. Λεξ. 442, πιθ. σφάλμα ἀντὶ **ἀρθριτικός.** **II.** (**ἄρθρον II.**) ἀνήκων εἰς τὸ ἄρθρον, ὅρος γραμμ., Ἀπολλών. περὶ Συντάξ. σ. 6. κτλ.

ἀρθρῖτικός, ή, όν, (ἄρθρον) ὁ περὶ τῶν ἄρθρων τοῦ σώματος, κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν Ἱππ. π. Ἄρθρ. 794. **II.** ὁ πάσχων ἐξ ἀρθρίτιδος, Ἱππ. 1179, Δαμόξενος ἐν «Συντρόφοις» 1.32, Κικ. Epist. ad Fam. 9. 23: — τὰ **ἀρθριτικὰ** Ἱππ. Ἀφ. 1258.

ἀρθρῖτις, ιδος, ἡ, ὡσεὶ θηλ. τοῦ **ἀρθρίτης**, ὅπερ δὲν ἀπαντᾷ, ἡ τῶν ἄρθρων φλεγμονή, ἡ γνωστὴ νόσος τῶν ἄρθρων, ἀρθρῖτις φλεγμονὴ συνισταμένη περὶ τοῖς ἄρθροις ἔμμονος, πόνον ἰσχυρὸν ἐπιφέρουσα πασχόντων τῶν νεύρων Ὅροι Ἰατρ. σ. 398. 52· ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος, λαμβάνει δὲ καὶ ὀξέη, καὶ ἐς ἄλλοτε ἄλλο τῶν ἄρθρων ὀξύτεραί τε καὶ μαλακώτεραι καταστηρίζουσιν αἱ ὀδύναι Ἱππ. 524. 20, Ἀφορ. 1247.

ἀρθρο-κηδής, ές, ὁ τὰ ἄρθρα τοῦ σώματος λυμαινόμενος, ἀρθροκηδέσιν πόνοις Λουκ. Τραγῳδοποδάγρα 15.

ἄρθρον, τὸ (* **ἄρω**, δ ἴδε), ἄρθρον ἢ μέλος τοῦ σώματος, Ἱππ. Ἀφ. 1248, κ. ἄλλ.· ἅπαν κατ' ἄρθρον Σοφ. Τρ. 769· χρῶτ' (κατὰ διόρθ. Ἑρμάννου ἀντὶ **κρᾶτ'**) ἀπὸ πάντα καὶ ἄρθρα τέμω χερὶ ὁ αὐτ. Φ. 1208: ἰδίως τὰ ὀστᾶ τῆς κατὰ τὰ σφυρὰ ἀρθρώσεως, ἐν οἷς προσαρμόζεται ὁ ἀστράγαλος· ὁ ἀστράγαλος ἐξεχώρησε ἐκ τῶν ἄρθρων Ἡρόδ. 3. 129· ἀλλὰ παρ' Ἱππ. ἡ περιφερὴς κεφαλὴ τοῦ ὀστοῦ ἡ προσαρμοζομένη εἰς τὴν κοτύλην, «Ἱπποκράτης θατέρου τῶν συνταττομένων ὀστῶν τὸ πέρας ἄρθρον ὀνομάζει πολλάκις, οὐ μὴν ὁπότερόν γε ἔτυχεν, ἀλλὰ τὸ περιφερές τε καὶ τῇ κοιλότητι τοῦ πλησιάζοντος ἐπιβεβηκός» Γλωσσ. Γαλην. π. ὀστ., ὁ αὐτ. εἰς Ἱππ. π. Ἀγμ. 761Η: οὕτω, μάρψας ποδός νιν, ἄρθρον ᾗ λυγίζεται Σοφ. Τρ. 776, πρβλ. Φ. 1201. **2)** κατὰ πληθ. συνημμένον ἄλλῃ τινὶ λέξει, ἄρθρα ποδοῖν, τὰ σφυρά, Σοφ. Ο. Τ. 718, πρβλ. 1032, Τρ. 776· ἄρθρων ἤλυσις, τὰ σκέλη, αἱ κνῆμαι, Εὐρ. Ἑκ. 67· ἄρθρα τῶν κύκλων, οἱ ὀφθαλμοί, Σοφ. Ο. Τ. 1270. ἄρθρα στόματος, τὸ στόμα, Εὐρ. Κύκλ. 625· οὐδέ τι ἄρ. τῆς φωνῆς, οὐδὲν τῶν ὀργάνων τῆς φωνῆς, Ἀριστ. Ἱστ. Ζ. 4. 9, 8, πρβλ. 18· τὰ ἄρθρα μόνον, τὰ γεννητικὰ μόρια, Ἡρόδ. 3. 87, 103., 4. 2, Ἀριστ. Ἱστ. Ζ. 5. 5, 12, κ. ἀλλ.· μετφ., ἄρθρα τῶν φρενῶν Ἐπίχ. 119 Ahr. **II.** τὸ ἄρθρον ἐν τῇ γραμματικῇ, Ἀριστ. Ποιητ. 21. 7, Ῥητ. πρὸς Ἀλέξ. 26. 4, Διον. Ἁλ. περὶ Θουκ. 37, κ. ἀλλ.

ἀρθρο-πέδη, ἡ, πέδη, δεσμὸς τῶν ἄρθρων, Ἀνθ. Π. 6. 297.

ἀρθρο-τομέω (τέμνω), ἀποκόπτω, ἀρθροτομεῖ τῶν μελῶν τούτων τὰ πρακτικώτερα Θεοφ. Σιμ. 4.112Α.

ἀρθρόω (ἄρθρον), στερεώνω δι' ἁρμοῦ: — Παθ., προσαρμόζομαι, θώρακα δ' ἅπας ἐμπερονᾶται, κνημὶς δὲ περὶ σφυρὸν ἀρθροῦται Ἕρμιππος ἐν «Μοίραις» 2, 3· σώματα ἠρθρωμένα, καλῶς συνηρθρωμένα, Ἱππ. π. Ἀέρ. 292. **II.** κατὰ τὸ πλεῖστον ἐπὶ λέξεων, προφέρω καθαρῶς καὶ διακεκριμένως, γλῶσσα ἀρθροῖ τὴν φωνήν, παράγει ἐνάρθρους ἤχους (ὡς ὁ Λουκρέτ. 4. 549, [voces] articulat lingua), Ξεν. Ἀπομν. 1. 4, 12· ἀλλ' ἀρθροῦν γλῶσσην καὶ νόον, ἐντείνω, ἐνισχύω τὴν γλῶσσαν καὶ τὸν νοῦν, Θέογν. 758.

ἀρθρώδης, ες, (εἶδος) ἰσχυρός, νευρώδης, περὶ κυνῶν, ἐχούσας τὰς κεφαλὰς ἐλαφράς, σιμάς, ἀρθρώδεις Ξεν. Κυν. 4.1, Ἀριστ. Φυσιογν. 5. 8. **2)** ἔναρθρος, ἀντίθ. τῷ ἄναρθρος, ὁ αὐτ. περὶ Ζ. Μορ. 3. 4, 26. — Ἐπίρρ. **-δῶς** Γαλην.

ἀρθρωδία, ἡ, ἰδιαίτερον εἶδος ἀρθρώσεως, καθ' ἣν αἱ ἐπιφάνειαι εἶναι μόνον ὀλίγον κυρταὶ καὶ κοῖλαι, Γαλην. 2.736.

ἄρθρωσις, εως, ἡ, σύνδεσις, συνάρθρωσις, Φίλων 2. 408, διάκρισις τῶν ἄρθρων, Στράβ. σ. 88.

ἀρῐ- [ᾰ], ἀχώριστ. προθεματ. μόρ. ὡς τὸ **ἐρι-**, ἐνισχῦον τὴν ἰδέαν ἣν ἐκφράζει τὸ μετ' αὐτοῦ συντιθέμενον: τῆς αὐτῆς ῥίζης μετὰ τῶν λέξεων **ἀρείων, ἄριστος,** ἴδε Βουττμ. Λεξίλ. ἐν λ. **ἕκηλος** 9: κατὰ τὸ πλεῖστον παρὰ τοῖς ἀρχαιοτέροις Ἐπ. καὶ Λυρικ. (ἴδε ἐν λ. ***ἄρω**). **II.** ἴδε ἐν λ. **Ἀριμασποί.**

ἀρία, ἡ, εἶδος δρυός, = **φελλόδρυς**, κοινῶς «ἀριά», Θεοφρ. Ἱστ. Φ. 3.16. 3.

Ἀρία, ἡ, «Περσικὴ χώρα, ὡς Ἑλλάνικος· τὸ ἐθνικὸν Ἄριος, ὡς αὐτός φησι, καὶ Ἀριεύς» Στέφ. Βυζ. ἐν λέξ. **Ἄριος.**

ἀρίγνως, ωτος, ὁ, ἡ, ὁ διακεκριμένος, ἐπιφανής, Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ Πινδ. Ν. 5. 21· πρβλ. Λοβ. Παραλειπ. 181.

ἀρί-γνωτος [ᾰ], **η, ον,** Ὀδ. Ζ. 108, ὡσαύτως, **ος, ον,** Ἰλ. Ο. 490: εὐδιάγνωστος, ἀρίγνωτοι δὲ θεοί περ Ἰλ. Ν. 72, πρβλ. Ο. 490· δώματα Ὀδ. Ζ. 300· ῥεῖά τ' ἀριγνώτη πέλεται αὐτόθι 108. **2)** λίαν γνωστός, πεφημισμένος, Ὁμ.: ὡσαύτως ἐπὶ κακῆς σημασίας, = τῷ Λατ. nimium notus, ὦ ἀρίγνωτε συβῶτα, «τουτέστιν ὦ ἄγαν γνώριμε ἐπὶ ἀχρείᾳ τέχνῃ» (Εὐστ.), Ὀδ. Ρ. 375 (ἔνθα πρέπει νὰ προφέρηται ὦ 'ρίγνωτε)· «Ἀττικὴ δὲ συναλοιφὴ τὸ ὦ 'ρίγνωτε, ὁμοίᾳ τῷ ὦ 'γαθέ», Εὐστ.

ἄ-ρῑγος, ον, μὴ αἰσθανόμενος ῥῖγος, ψῦχος, Ἀριστ. Προβλ. 31.22.

ἀρίγων, ωνος, ὁ, «εἶδος δόρατος», Θεογνώστου Κανόνες 31, 15, Χοιροβ. τ.1, σ.74, 35.

ἀρι-δάκρυος, ον, = τῷ ἑπομ., διά τί οἱ μεθύοντες ἀριδάκρυοι μᾶλλον; Ἀριστ. Προβλ. 3. 24.

ἀρί-δακρῦς, υ, γεν. **υος**, ὁ πολύδακρυς, γόος Αἰσχύλ. Πέρσ. 947· ἐπὶ προσ., Ἀριστ. Ἱστ. Ζ. 9.1.1, πρβλ. 30.1, 7· παροιμ., ἀριδάκρυες ἀνέρες ἐσθλοὶ Σχόλ. Ἑν. εἰς Ἰλ. Α. 349.

ἀρι-δάκρῡτος, ον, ὁ λίαν θρηνηθείς, «ἀριδάκρυτον· πολυδάκρυτον» Ἡσύχ.

ἀρί-δᾱλος, ον, Δωρ. ἀντὶ **ἀρίδηλος**, Σίμων.

ἀριδείκετος, ον, (δείκνυμι) ὁ πολὺ δεικνυόμενος, ὅθεν ὡς τὸ Λατ. digito monstratus, ἐπιφανής, περίφημος, ὁ Ὁμ. μεταχειρίζεται τὴν λέξιν ὡς ἐπὶ τὸ πολὺ ὡς ὑπερθετ. μετὰ γεν., ἀριδείκετος

ἀνδρῶν, «πάνυ ἔνδοξος» (Σχόλ.), Ἰλ. Λ. 248, κ. ἀλλ.· ἀλλ' ὡσαύτως, ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι Ὀδ. Λ. 540· ἀρ. τέκνα Ἡσ. Θ. 385.

Ἀριδήλα, ἡ, «Ἀριδήλαν· τὴν Ἀριάδνην Κρῆτες» Ἡσύχ.

ἀρί-δηλος, Δωρ. **-δᾶλος**, ον, εὐδιάκριτος, μακρόθεν ὁρατός, περιφανής, ἁ δ' ἀρίδαλος Ὄσσα Σιμωνίδ. 185· Ἀρκτοῦρος .. καὶ μάλα πᾶς ἀρίδηλος Ἄρατ. 94· μνῆμα Συλλογ. Ἐπιγρ. 1050. **II.** λίαν σαφής, κατάδηλος, φανερός, τάδε γὰρ ἀρίδηλα ὅτι θεῖον τὸ φθεγγόμενον Ἡρόδ. 8. 65.—Παρὰ Τυρταίῳ 8. 7, ἀΐδηλα φαίνεται νὰ εἶναι ἡ ὀρθὴ γραφή· πρβλ. τὸ ἑπόμ.—Ἐπίρρ. **ἀριδήλως**, φανερῶς, Σχόλ. εἰς Ἀριστοφ. Πλ. 948, Προλεγ. Χρησμ. Σιβυλλ. τ. 1. σ. 4, 1.

ἀρίζηλος, ον, καὶ η, ον, ἴδε κατωτέρ.: —Ἐπ. ἀντὶ **ἀρίδηλος** (ἴδε **Ζ ζ** II. 2), φανερός, ἐναργής, Λατ. insignis, ἐπὶ τοῦ φωτὸς ἀστέρος, ἀρίζηλοι δέ οἱ αὐγαί, «μεγάλως ἔκδηλοι» (Σχόλ.) Ἰλ. Ν. 244, πρβλ. Πινδ. Ο. 2. 101 ἐπὶ τοῦ ἤχου φωνῆς, ὡς δ' ὅτ' ἀριζήλη φωνή Ἰλ. Σ. 219, πρβλ. 221· ἐπὶ ἀνθρώπων οὓς πάντες θαυμάζουσιν, ὥστε θεῷ περ, ἀμφὶς ἀριζήλω Σ. 519· οὕτως Ἡσ. Ἔργ. κ. Ἡμ. 6, ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει.—Ἐπίρρ. ἀριζήλως εἰρημένα, τὰ ἀριδήλως, σαφῶς ἤδη ῥηθέντα, Ὀδ. Μ. 453: —περὶ τοῦ ἐν Ἰλ. Β. 318, ἴδε ἐν λέξει **ἀΐζηλος**. **II.** (ζῆλος) = **ἀριζήλωτος** μόνον παρ' Ἡσυχ. ἐν ἄρι, «ἀρι· μεγάλως, ὅθεν καὶ ἀρίζηλος ὁ μεγάλως ζηλωτός».

ἀρι-ζήλωτος, ον, ὁ λίαν ζηλωτός, Ἀριστοφ. Ἱππ. 1329·— **ζήλητος** ἐν Χρησμῷ παρ' Εὐσ. ἐν Εὐαγγ. Πρ. 413C.

ἀρι-ήκοος, ον, λίαν ἀκουστός, Καλλ. εἰς Δῆλ. 308, «πολυήκοος» Ἡσύχ. **II.** ἐνεργ. ὁ μακρόθεν ἀκούων, προθύμως ἀκούων, «λίαν ἐπήκοος» (Σχόλ.), Ἀπολλ. Ῥόδ. Δ. 1707.

ἀριθμᾱτός, όν, Δωρ. ἀντὶ **ἀριθμητός**.

ἀριθμέω, παρατ. **ἠρίθμεον**, ὡς τρισύλλ., Ὀδ. Κ. 204, γ' ἑνικ. **ἠρίθμει** Ν. 218: μέλλ. **-ήσω**, Πλάτ.: ἀόρ. **ἠρίθμησα** κτλ.: —Μέσ. ἀόρ. **ἠριθμησάμην** Πλάτ. Φαῖδρ. 270D: — Παθ. φων. μέσ. μέλλ. μετὰ παθ. σημ. **ἀριθμήσομαι**, Εὐρ. Βακχ. 1318: παθ. μέλλ. **ἀριθμηθήσομαι** Ἑβδ., Γαλην.: Ἐπ. ἀόρ. ἀπαρ. **ἀριθμηθήμεναι** (ἀντὶ **ἀριθμηθῆναι**) Ἰλ. Β. 124. Ἀριθμῶ, ὑπολογίζω, λογαριάζω, Ὀδ. Δ. 411, Πινδ. Ν. 10. 85 κτλ.· αὐτὰρ ἐγὼ δίχα πάντας .. ἑταίρους ἠρίθμεον, ἠρίθμουν αὐτοὺς χωρίζων εἰς δύο ὁμάδας, Ὀδ. Κ. 204· ἀριθμήσαντες Ἡρόδ. 7. 60: —οὐδεὶς πώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν ἠρίθμησε, ἐστάθη ἢ ἔλαβε τὸν κόπον νὰ τοὺς ἀριθμήσῃ, Ἀριστοφ. Ἱππ. 570· ποιητ., ἀριθμήσεις γαῖαν ἀπειρεσίην = μετρήσεις Ἀνθ. Π. 11. 349. — Παθ., Ἡρόδ. 6. 111., 9. 32: —Ἐν Θουκ. 3. 20, τὸ μέσ. **ἠριθμοῦντο**, ἐλάμβανον τὸν ἀριθμὸν τῶν πλίνθων, ἀκολουθεῖται ὑπὸ τοῦ ἐνεργ. **ἀριθμοῦντες**. **2)** ὑπολογίζω πρὸς ἀπότισιν, καὶ ἐντεῦθεν ἀποτίνω, πληρώνω, ὡς μεταχειριζόμεθα νῦν τὸ **μετρῶ**, τὸ χρυσίον, ἀργύριον Ξεν. Συμπ. 4. 44, Δημ. 1192, ἐν τέλ. **3)** λογίζομαι, «λογαριάζω», θεωρῶ, ἐν εὐεργεσίας μέρει Δημ. 568. 5. ἀρ. τινα κλυτόπαιδα Ἀνθ. Π. 9. 262· κέρδος τι ἀρ. Δίων Χρ. σ. 649: — Παθ. λογίζομαι, ἀριθμοῦμαι, συγκαταλέγομαι, ἔν τισι Εὐρ. Ἑλ. 729· ἐν γράμμασι Λουκ. Δίκ. Φων. 2· εἴς τινας Ἡρωδιαν. 1. 1· ὡσαύτως, ἀριθμεῖσθαι τῶν φιλτάτων, ὡς εἷς ἐκ τῶν .., Εὐρ. Βακχ. 1318· μακάρων Θεόκρ. 13. 72.

ἀρίθμημα, τό, ἀρίθμησις, τῶν πάλων Αἰσχύλ. Εὐμ. 753.

ἀρίθμησις, εως, ἡ, τὸ ἀπαριθμεῖν, Ἡρόδ. 2. 143· «μέτρημα», πληρωμή, Συλλ. Ἐπιγρ. 2058B. 36. **II.** = **ἀριθμητική**, ἡ, Ἱππ. Ἐπιστ. 934 Lind.

ἀριθμητέος, α, ον, ῥημ. ἐπίθ., πρέπει ν' ἀριθμηθῇ, νὰ ὑπολογισθῇ, Ἱππ. 1031B. **2)** **ἀριθμητέον**, πρέπει τις ν' ἀριθμήσῃ, νὰ ὑπολογίσῃ, Θεοφρ. Ἀποσπ. 3. 3.

ἀριθμητής, οῦ, ὁ, λογιστής, Τζέτζης εἰς Λυκόφρ. 980.

ἀριθμητικός, ή, όν, ὁ εἰς τὸ ἀριθμεῖν ἀνήκων, ὁ ἱκανός, ἐπιτήδειος πρὸς τοῦτο, ἀριθμητικὸς ἄνθρωπος Πλάτ. Γοργ. 453E· ἀναλογία Ἀριστ. Ἠθ. Ν. 2. 6, 7: ἡ ἀριθμητικὴ (ἐνν. τέχνη), ὡς παρ' ἡμῖν, Πλάτ. Πολ. 525A, κ. ἀλλ.· ἀριθμητική, ἄνευ ἄρθρου, ὁ αὐτ. Γοργ. 450D· ἡ ἀρ. ἐπιστήμη Πλούτ. 2. 979E· πρβλ. **λογιστικός** 1.— Ἐπίρρ. **-κῶς** Πλούτ. 2. 643C.

ἀριθμητός, ή, όν, Δωρ. **-ᾱτός** (ἀριθμέω), ὃν δύναταί τις νὰ ἀριθμήσῃ ὑπολογίσῃ, ὀφθαλμοὶ δ' οὐκ ἀριθμητοί, ἀναρίθμητοι, ἀλογάριαστοι, Κρατῖν. ἐν «Πανόπταις» 2· ἀριθμούμενον ἢ ἀριθμητὸν Ἀριστ. Φυσ. 4. 14, 5· ἐν ἀντιθέσει πρὸς τὸ **μετρητόν**, ὁ αὐτ. Μεταφ. 4. 13, 1. **2)** εὐκόλως ἀριθμούμενος, εὐάριθμος, ὀλίγος τὸν ἀριθμόν, ἀριθματοὶ ἀπὸ πολλῶν, panci de multis, Θεόκρ. 16. 87. **3)** οὐκ ἀριθμητός, nullo numero habitus, ὁ αὐτ. 14. 48.

ἀρίθμιος, α, ον, = **ἐναρίθμιος**, ἀνθ' οὗ κεῖται ὡς διάφ. γρ. ἐν Ῥιαν. 1. 16, Ὀππ. Ἁλ. 1. 151· ἔν τισιν ἀρίθμιος Διον. Π. 263.

ἀριθμός [ᾰ], ὁ, (ἴδε * **ἄρω**) Λατ. numerus, πρῶτον ἐν Ὀδ., λέκτο δ' ἀριθμὸν Δ. 451· ἀριθμῷ παῦρα Σιμωνίδ. 47· ἐν ἀριθμῷ Ἡρόδ. 3. 6· ἀριθμὸν ἓξ ὁ αὐτ. 1. 14, πρβλ. 50· ἐς τὸν ἀρ. τρισχίλια ὁ αὐτ. 7. 97· πλῆθος ἐς ἀριθμόν, τὸ πλῆθος, τὸ ποσὸν ὡς πρὸς τὸν ἀριθμόν, ὁ αὐτ. 7. 60· οὕτω παρ' Ἀττ., μήκωνος ἐπὶ πάσας ἄνω κόκκους τὸν ἀριθμὸν δώδεκα Εὔφρων ἐν Ἀδὴλ. 1. 11· δύο τινὲς ἢ τρεῖς ἑστήκασι πάντων ἔσχατοι εἰς τὸν ἀρ. Μένανδ. ἐν «Ἐπικλήρῳ» 2· ἔλαττον μήτε ὄγκῳ μήτε ἀριθμῷ Πλάτ. Θεαίτ. 155A· οὔτ' ἀριθμοῖς οὔτε μεγέθεσιν ἐλάττους ὁ αὐτ. Νόμ. 861E· σταθμῷ καὶ ἀριθμῷ Ξεν. Συμπ. 4. 45· μέτρον καὶ ἀρ. Πλουτ. Περ. 16, πρβλ. Εὐρ. Τρῳ. 616·—παροιμ., ὡς μὰν σαφὲς οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν, «κατὰ πολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην, ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων, ἤγουν τῆς ψάμμου κτλ.» (Σχόλ), Πινδ. Ο. 13. 66, πρβλ. 2. 179· οὐ γιγνώσκω ψήφων ἀριθμούς, ἐπὶ ἠλιθίου, Ἔφιππ. ἐν «Πελταστῇ» 1· οὔτ' ἀριθμὸν οὔτ' ἔλεγχον .. ἔχων Διονύσ. ὁ Κωμ. ἐν «Ὁμωνύμοις» 1. 13. **2)** διάστημα, ἔκτασις, ἐπὶ χρόνου ἢ τόπου, ποσόν, πολὺς ἀριθμὸς χρόνου Αἰσχίν. 7. 36· ἀριθμὸς τῆς ὁδοῦ Ξεν. Ἀν. 2. 2, 6· ἀρ. ἀργυρίου, ποσὸν χρηματικὸν ὁ αὐτ. Κύρ. 8. 2, 15. **3)** ἀριθμῷ ἀπολ. ἐπεὰν γὰρ ἀποθάνῃ βασιλεὺς Λακεδαιμονίων, ἐκ πάσης δεῖ Λακεδαίμονος .. ἀριθμῷ τῶν περιοίκων ἀναγκαστοὺς ἐς τὸ κῆδος ἰέναι, ἀριθμός τις ἐκ τῶν περιοίκων, Ἡρόδ. 6. 58· ἀλλά, δένδρα ἀριθμῷ ὑμέτερα, καὶ τὰ ὑμέτερα δένδρα πόσα εἶναι κατ' ἀριθμόν, Θουκ. 2. 72· ἀριθμῷ διδόασι τὰ κρέα Διονύσ. Κωμ. ἐν «Ὁμωνύμοις» 1. 6. **4)** ἀριθμός, ὁ δεύτερος ἀρ. Εὐρ. Ἴων 1014· πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων Ἑλ. 410· τὸν τέτταρα ἀριθμὸν Λουκ. Ἑρμότ. 35. **5)** ἀριθμός, ὡς σημεῖον τάξεως, ἀξίας, ἀξιώματος, μετ' ἀνδρῶν ἵζεσθαι ἀριθμῷ, λαμβάνω θέσιν μεταξὺ τῶν ἀνδρῶν, Ὀδ. Λ. 449· ἐν πολλαῖς Ἀττ. φράσεσιν, εἰς ἀνδρῶν μὲν οὐ τελοῦσιν ἀριθμὸν Εὐρ. Ἀποσπ. 495· εἰς ἀρ. τῶν κακῶν πεφύκαμεν ὁ αὐτ. Ἑκ. 1186· ξενίας τ' ἀριθμῷ πρῶτος ὢν ἐμῶν φίλων, ἐν τῷ ἀριθμῷ τῶν ἐκ ξενίας φίλων μου πρῶτος ὢν αὐτός, αὐτόθι 794· δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ ἀριθμόν, δὲν λαμβάνονται ὑπ' ὄψει, δὲν τοὺς λογαριάζει κανείς, ὁ αὐτ. Ἀποσπ. 523· εἰ δὲ μὴ δοκεῖ τάδε, οὐδ' εἰς ἀριθμὸν τῶν ἐμῶν ἥκεις λόγων, δὲν φθάνει οὐδ' εἰς σημεῖον τοιοῦτον ὥστε νὰ εἶναι δυνατὸν νὰ συζητήσω μετ' αὐτῆς, ὁ αὐτ. Ἠλ. 1054· οὐδεὶς ἀρ. ἐστί τινος, ὡς τὸ Λατ. nullo esse in numero, Πλούτ. 2. 682F· πρβλ. **ἀριθμέω**, **χώρα** I. 3. **6)** ὡσαύτως, ἁπλοῦς ἀριθμός, ποσότης, ἐν ἀντιθέσει πρὸς τὴν ποιότητα ἢ ἀξίαν, ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων, ἁπλῆ παράταξις λέξεων, Σοφ. Ο. Κ. 382· οὕτως ἐπὶ ἀνθρώπων, ἐγεινάμην τέκνα οὐκ ἀριθμὸν ἄλλως, ἀλλ' ὑπερτάτους Φρυγῶν· δὲν ἐγέννησα ἁπλῶς μόνον ἀριθμὸν τέκνων, ἀλλ' ἄνδρας ὑπερτάτους Φρυγῶν, Εὐρ. Τρῳ. 476· οὕτως, ἀριθμὸς μόνον ὡς τὸ τοῦ Ὁρατίου nos numerus sumus, Ἀριστοφ. Νεφ. 1203· ἐνίοτε καὶ ἐπὶ ἑνὸς ἀνθρώπου, οὐκ ἀριθμόν, ἀλλ' ἐτητύμως ἄνδρ' ὄντα, οὐχὶ ἁπλῶς μία μονὰς ἀλλὰ .., Εὐρ. Ἡρακλ. 997. **7)** εἴς τινας φράσεις ὡς σημεῖον τελειότητος ἢ ὁλοκληρίας, οἱ ἀριθμοὶ τοῦ σώματος Πλάτ. Νόμ. 668D· πάντας τοὺς ἀριθμοὺς περιλαβών, Λατ. omnibus numeris absolutus, Ἰσοκρ. 224D· πάντες ἀριθμοὶ τοῦ καθήκοντος, τὸ σύνολον τοῦ καθήκοντος, Μ. Ἀντων. 3. 1. **II.** ἀρίθμησις, τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ, ὑπέρτερα ἀριθμήσεως, ἀναρίθμητα, Πινδ. Ν. 2. 35· ἰδίως ἐν φράσεσιν, ἀριθμὸν ποιεῖσθαι τῆς στρατιῆς, τῶν νεῶν, ἀπαρίθμησιν, ἐπιθεώρησιν .. Ἡρόδ. 8. 7· ποιεῖν Ξεν. Ἀν. 7. 1. 7, κλ.· παρεῖναι εἰς τὸν ἀριθμὸν αὐτόθι 11· εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν, νὰ ἀριθμηθῇ, νὰ ὁρισθῇ δι' ἀριθμοῦ, Θουκ. 2. 72. **III.** ἡ ἐπιστήμη τῶν ἀριθμῶν, ἀριθμητική, ἀριθμόν, ἔξοχον σοφισμάτων Αἰσχύλ. Πρ. 459, πρβλ. Ἔφιππον ἐν «Πελταστῇ» 1· ἀριθμῶν καὶ μέτρων εὑρήματα Σοφ. Ἀποσπ. 379· ἀρ. καὶ λογισμὸν εὑρεῖν Πλάτ. Φαῖδρ. 274C, πρβλ. Πολ. 522C: παροιμ. εἴπερ γὰρ ἀριθμὸν οἶδα Εὐρ. Ἀποσπ. 362. 19. **IV.** περὶ τοῦ Πυθαγορείου δόγματος ὅτι οἱ ἀριθμοὶ ἦσαν τὰ συστατικὰ στοιχεῖα τοῦ παντός, ἴδε Ἀριστ. Μεταφ. 1. 8, 22 κέξ., 13. 3, κ. ἀλλ., πρβλ. Γροτίου Πλάτωνα 1. σ. 10. **V.** στίχος, προφερόμενοι ἀριθμοὺς τῶν ἀρχαίων ποιητῶν [Π.] Ἐπιγρ. Δελφ. BCH 1894. 80, πρβλ. Διον. Ἁλ. π. Συνθ., φέρε γὰρ ἐπιχειρείτω τις προφέρεσθαι τούσδε ἀριθμούς, Ὄλυνθον μὲν καὶ Μεθώνην καὶ Ἀπολλωνίαν - - Ἴδε ὡσαύτως Larfeld Ber. ü. d. Epigr. 1896, σ. 208. H. Searles.

ἀρικύμων [ῡ], ον, (κύω) ἐπὶ γυναικός, «ἡ ταχέως ἐγκύμων γινομένη», Γαλην. Γλωσσ., «εὐσύλληπτος» Ἡσύχ., Ἱππ. 262, κτλ.

ἀριμάζω, = ἁρμόζω, Ἡσύχ.

Ἀριμασποί, οἱ, Σκυθικὴ λέξις σημαίνουσα 'οἱ μονόφθαλμοι' κατὰ τὸν Ἡρόδ. 4. 27, ὅστις λέγει ὅτι **ἄριμα** = **ἓν** καὶ **σποῦ** = **ὀφθαλμός** (ἴδε Rawlinson, 3, σ. 197)· ἐν ᾧ ὁ Εὐστ. εἰς Διον. Π. 31 λέγει ὅτι **ἀρι** = **ἓν** καὶ **μασπὸς** = **ὀφθαλμός**· ἐν Αἰσχύλ. Πρ. 805 καλοῦνται **ἱπποβάμονες**.

ἀρίμηλον, τό, εἶδος μήλου, Ἀντίγ. Καρ. παρ' Ἀθην. 82B.

ἀρῖν ἢ **ἀρίς**, ἴδε **ἄρριν**.

Ἄριοι, οἱ, τὸ παλαιὸν ὄνομα τῶν Μήδων κατὰ τὸν Ἡρόδ. 7. 62· λεγόμενον περὶ αὐτῶν ἢ μέρους αὐτῶν, 3. 93., 7. 66., Στράβ. 510, 514· οὕτω, Μάγοι καὶ πᾶν τὸ Ἄριον (κοιν. Ἄρειον) γένος, Εὔδημ. παρὰ Δαμασκ. π. ἀρχῶν, ἐν τῇ ἀρχ.: **Ἀρία ἀναφέρεται**

ὡς Περσικὴ χώρα ὑπὸ Ἑλλανίκ. παρὰ Στεφ. Β. (οὕτως ἡ **Ἀρεία** ἐν Ἀρρ. Ἀν. 3. 25)· καὶ τὸ ὄνομα **Ἀριανὴ** διέμεινεν ὡς ὄνομα μεγάλου διαμερίσματος πρὸς βορρᾶν τῆς Περσίδος, Στράβ. 720 κἑξ.— Ἐντεῦθεν ἡ διόρθωσις τοῦ Ἑρμάννου ἔκοψα κομμὸν Ἄριον (ἀντὶ Ἄρειον), ἐθρήνησα θρῆνον Μηδικόν, Αἰσχύλ. Χο. 423. (Ἐν τῇ Σανσκρ., Arya, εὐγενής, ἦτο τὸ ὄνομα τῶν τριῶν πρώτων φυλετικῶν τάξεων, ἐν ἀντιθέσει πρὸς τὸ Sutra, ὅπερ ἐσήμαινε τὴν κατωτάτην, ἴδε M. Müller Sc. of L. 1. 246 κἑξ.).

ἀρί-πικρος, ον, ὁ λίαν πικρός, «ἀρίπικρον· μεγάλως πικρὸν» Ἡσύχ.

ἀριπρέπεια, ἡ, λαμπρότης, μεγαλοπρέπεια, Γρ. Ναζ. τ. 2. σ. 152.

ἀριπρεπής, ές, (πρέπω) ὁ λίαν εὐπρεπής, «ἀριπρεπές· μεγαλοπρεπές» Ἡσύχ., ὥς καί σοὶ εἶδος μὲν ἀριπρεπὲς Ὀδ. Θ. 176· δότε δὴ καὶ τόνδε γενέσθαι .. ἀριπρεπέα Τρώεσσιν Ἰλ. Ζ. 477· ἵππον ἀρ. Ψ. 453· ἀρ. βασιλῆες Ὀδ. Θ. 390. 2) ἐπὶ πραγμάτων, λίαν λαμπρός, στίλβων, λάμπων, ἔχε δ' αἰγίδα .. ἀριπρεπέα Ἰλ. 309· ἄστρα .. φαίνετ' ἀρ. Θ. 556· καὶ ἐπὶ ὄρους, λίαν ἐμφανές, ἐναργές, Νήριτον ἀρ. Ὀδ. Θ. 22.—Ἐπίρρ. -πῶς, Ἰων. -πέως, Συλλ. Ἐπιγρ. 1656c, Γρηγ. Ναζ. τ. 2. σ. 72, 270, κ. ἄλλοι.

ἄρις· «εἶδος βοτάνης» Ἡσύχ., πρβλ. Γαλην. Γλωσσ. 442.

ἀρῖς, ἴδε **ἄρρις**.

ἀρίς, ἀρίδος, ἡ, τεκτονικὸν ἐργαλεῖον, τρύπανον, κοινῶς «ἀρίδα» καὶ «τρυπάνι» Ἱππ. π. Ἄρθρ. 789, Καλλίας ἐν «Πεδήταις» 5 (Πολυδ. Ζ', 113), Ἀπολλοδ. Πολ. 18C, Ἀνθ. Π. 6. 103, 205· πρβλ. **φράκτης**.

ἀρί-σαμος, ον, Δωρ. ἀντὶ **ἀρίσημος**.

ἀρίσαρον, τό, «ἀρίσαρόν ἐστι μικρὸν βοτάνιον, ῥίζαν ἔχον ὡς ἐλαίας· ἔστι δὲ δριμυτέρα τοῦ ἄρου» Διοσκ. 2. 198· κατὰ τὸν Sibthorp τὸ σημερινὸν ὄνομα αὐτοῦ εἶναι **δρακοντιά**.

Ἀρίσβηθεν, ἐξ Ἀρίσβης (ἐν Τρῳάδι), Ἰλ. Β. 838.

ἀρί-σημος, ον, (σῆμα) λίαν φανερός, ἀξιοσημείωτος, περιφανής, ἀρίσημα δὲ ἔργα τέτυκτο Ὕμν. Ὁμ. εἰς Ἑρμ. 12· καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι Τυρταῖος 9. 29· εἰκών, Συλλ. Ἐπιγρ. 5362b. II. σφόδρα ἐναργής, ὁρατός, τρίβος Θεόκρ. 25. 158.— Ἐπίρρ. -μως Ἡλιόδ. 6. 14.

ἀρισθ-άρματος, ον (ἄριστος, ἅρμα), ἄριστος ἐν τῇ ἁρματηλασίᾳ, ἀρισθάρματον γέρας, τὸ βραβεῖον τοῦ ἀρίστου ἅρματος ἐν τῇ ἁρματηλασίᾳ, Πινδ. Π. 5. 39.

ἀρισκῡδής, ές, (σκύζω) λίαν ὀργίλος, ἀρισκυδὴς εὖνις Διός, ἡ ἄγαν σκυζομένη, ὀργιζομένη, Καλλιμ. Ἀποσπ. 108.

ἀρίστ-αθλος, ον, ὁ ἄριστος ἐν ἄθλοις, Ἀνθ. Πλαν. 94.

Ἀρισταῖος, ὁ, κύρ. ὄν., Ἡσ.: ὄνομα τοῦ Ἀπόλλωνος, Πινδ. Π. 9. 116: ὡσαύτως ὄνομα ἀγροτικοῦ ἥρωος υἱοῦ τοῦ Ἀπόλλωνος, ἴσως ἡ λέξις σχετίζεται πρὸς τὴν Λατ. arista, Οὐεργ. Γεωργ. 1. 14.

Ἀριστάρχειος, α, ον, ὁ τοῦ Ἀριστάρχου, ὁ ἀνήκων εἰς τὸν Ἀρίσταρχον (τὸν κριτικὸν) Στράβ. 103.

ἀρίστ-αρχος, ὁ, ὁ ἄριστα κυβερνῶν, ἐπίθ. τοῦ Διός, Σιμωνίδ. 70, παρ]ὰ βωμὸν ἀριστάρχου Διὸς Βακχυλ. XIII. 25· πρβλ. Ἀπολλώνιον π. Συντάξ. 186, καὶ Ἡσύχ. ἐν λέξει.— Ῥῆμ. **ἀρισταρχέω**, κυβερνῶ κατὰ τὸν ἄριστον τρόπον, Ἀριστ. Πολ. 2. 11, 12: — Οὐσιαστ. **ἀριστ-αρχία, ἡ**, Θεόδ. Στουδ. σ. 544E.

ἀρι-στάφῡλος, ον, (σταφυλή) πολυστάφυλος, διάφ. γραφ. ἀντὶ **ἐριστάφυλος**, Ἀνθ. Π. 9. 580.

αὐτο-απολύτρωσις, αὐτὴ ἡ ἀπολύτρωσις, ἡ, Ὠριγέν. εἰς Ἰωαν. σ. 11.

αὐτοαπροσδεές, τό, τέλειον ἀφ' ἑαυτοῦ, Διδ. Ἀλεξ. σ. 529, ἔκδ. Mi.

αὐτο-αρετή, ἡ, αὐτὴ ἡ ἀρετή, Ἐπιφάν. τ. 1. σ. 959.

αὐτο-αριθμός, ὁ, αὐτὸς ὁ ἀριθμὸς Ἀλέξ. Ἀφρ. Χειρογρ. Κῶδ. Παρισ. ἀρ. 1876 φύλλ. 255.

αὐτο-αρχή, ἡ, αὐτὴ ἡ ἀρχή, Ἰουλ. Ἐπιστ. 455Β.

αὐτο-ασέβεια, αὐτὴ ἡ ἀσέβεια, Θεοφύλ. Βουλγ. τ. 4. σ. 257.

αὐτο-βασιλεία, ἡ, αὐτὴ ἡ βασιλεία, Ὠριγέν. τ. 3. σ. 622.

αὐτο-βασιλεύς, ὁ, αὐτὸς ὁ βασιλεύς, Ἰω. Χρυσ. π. Ρωμ. Ἐπιστ. τ. 3. σ. 30.

αὐτο-βαφής, **ές**, ὁ αὐτὸς καθ' ἑαυτὸν βεβαμμένος, ἔχων τὸ φυσικὸν αὐτοῦ χρῶμα, Νόνν. Δ. 30. 123· ὡσαύτως **-βαπτος**, **ον**, Μανασσ. Χρον. 1163.

αὐτο-βῆτα, ἴδε **αὐτο-άλφα**.

αὐτο-βλάβη, ἡ, αὐτὴ ἡ βλάβη, ἡ ὄντως βλάβη, Σχόλ. εἰς Σοφ. Ἠλ. 301· **αὐτο-βλαβής**, **ές**, ὁ ἑαυτὸν βλάπτων, Σχόλ. εἰς Αἰσχύλ. Θήβ. 917.

αὐτο-βοάω, αὐτὸς ἐμαυτῷ μαρτυρῶ, Α. Β. 465, 8.

αὐτο-βοεί, Ἐπίρρ. «παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ. οὕτω Θουκυδίδης. παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος» (Α. Β. 214. 32.)· Ἀμπρακίαν μέντοι οἶδα ὅτι, εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι Ἀθηναίοις .. πειθόμενοι ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον Θουκ. 3. 113., 2. 81., 8. 62, κτλ.

αὐτο-βοηθέω, βοηθῶ ἐμαυτῷ, Μάρκ. Ἐρημ. π. Βαπτ. σ. 939Α.

αὐτο-βοηθός, **όν**, = **αὐτάρκης**, Φαβωρ. σ. 137.

αὐτο-βόητος, **ον**, ἀφ' ἑαυτοῦ ἠχῶν, ὄργανον Νόνν. Δ. 1. 432.

αὐτο-βορέας, **ου**, ὁ, ὡς πραγματικὸς βορέας, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, αὐτοβορέας τις, ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραψεν Λουκ. Τίμ. 54.

αὐτο-βούλησις, **εως**, ἡ, αὐτὴ ἡ βούλησις, διάφ. γρ. ἐν Ἀριστ. Τοπ. 6. 8, 7: — ὡσαύτως, **αὐτοβουλή**, ἡ, Ἐπιφάν. τ. 1. σ. 838C.

αὐτο-βούλητος, **ον**, ὁ ἐξ οἰκείας βουλήσεως πράττων τι, Εἰρην. σ. 72, Ἐπιφ. τ. 1. σ. 240D: — Ἐπίρρ. **-τως** Ἡσύχ. ἐν λέξει **ἐθελοντής**, καὶ **-βουλος**, **ον**, Αἰσχύλ. Θήβ. 1053.

αὐτοβοῦς, ὡς πραγματικὸς βοῦς, Μ. Ἀκομ. τ. Β', σ. 343, 6. Ἔκδ. Λάμπρ.

αὐτό-γαμος, **ον**, ὁ ἑκουσίως εἰς γάμον ἐλθών, Νόνν. Δ. 40. 405.

αὐτο-γέεννα, ἡ, ἀληθὴς γέεννα, κόλασις, Ἰω. Χρυσ. κ. Ματθ. Ὁμ. 73, τ. 2. σ. 457.

αὐτο-γένεθλος, **ον**, αὐτογέννητος, Ὀρφ. Ἀποσπ. 38.

αὐτογένεσις, ἡ, αὐτὴ ἡ γένεσις, Πορφύρ. σ. 22, 3.

αὐτο-γενής, **ές**, ἀφ' ἑαυτοῦ γεννηθείς, αὐτογέννητος, δαίμων Στοβ. Ἐκλογ. 1. 972· — φυσικός, ἔμφυτος, αἰδὼς Χριστοδ. Ἔκφρ. 339. II. ἐκ τοῦ αὐτοῦ γένους γεννηθείς, συγγενής, αὐτογενεῖ φυξανορίᾳ Αἰσχύλ. Ἱκ. 9 κατὰ Bamberger ἀντὶ τοῦ αὐτογένητον φυλαξάνοραν τῶν χειρογράφων. Ὁ Paley ἑρμηνεύει τὸ χωρίον: «τῇ ἑκουσίᾳ ἡμῶν ἀποχωρήσει ἀπὸ συζυγίας μετ' ἀνδρός»· ἀλλ' ἴδε Χρησμ. Σιβυλλ. 8. 430.

αὐτο-γέννητος, **ον**, = **αὐτογενής**: κοιμήματά τε αὐτογέννητ' ... μητρός, καὶ κοιμήματα μητρὸς μετὰ τοῦ ἐξ αὐτῆς γεννηθέντος τέκνου, Σοφ. Ἀντ. 864· — ὡσαύτως, **αὐτογεννήτωρ**, **ορος**, ὁ, αὐτὸς ὁ πατήρ, Ἐπιφάν. τ. 1. σ. 239Α.

αὐτο-γῆ, ἡ, αὐτὴ ἡ γῆ, γῆ αὐτογῆ καὶ οὐδὲν ἄλλο Ἑρμῆς παρὰ Στοβ. 137, 36.

αὐτό-γλυφος, **ον**, ἀφ' ἑαυτοῦ γεγλυμμένος, λίθος αὐτόγλυφος καλούμενος Ψευδο-Πλούτ. 2. 1156Β.

αὐτο-γλώχῑν, ὁ, ἡ, ὁ ἔχων ἰδίαν αἰχμήν, τὰ δὲ ἄκρα πρὸς τὸ ἀκμαιότατον ἀποξέσας αὐτογλώχινα τὸν οἰστὸν ἀπεργάζεται Ἡλιόδ. 9. 19.

αὐτογνωμονέω, πράττω τι αὐτογνωμόνως, πράττω τι ὅπως ἐγὼ θέλω, αὐτογνωμονήσαντες ἀπέκτειναν τὸν ἄνδρα Ξεν. Ἑλλ. 7. 3, 6, «αὐτογνωμονήσαντες· ἰδιογνωμονήσαντες» Α. Β. 467. 11.

αὐτο-γνώμων, **ον**, γεν. **ονος**, ὁ πράττων ἢ ἀποφασίζων τι αὐτογνωμόνως χωρὶς νὰ λάβῃ ὑπ' ὄψει μήτε τοὺς νόμους μήτε τὴν γνώμην ἄλλου, ἔτι δὲ καὶ τῶν κρίσεων εἰσὶ μεγάλων κύριοι οἱ τυχόντες· διόπερ οὐκ αὐτογνώμονας βέλτιον κρίνειν, ἀλλὰ κατὰ τὰ γράμματα καὶ τοὺς νόμους Ἀριστ. Πολ. 2. 9, 23· αὐτ. ἄρχειν, ἀπολύτως ἄρχειν, αὐτόθι 2. 10, 11. Ἐπίρρ. **-όνως** Πλουτ. Δημήτρ. 6. — Ἐντεῦθεν οὐσιαστ. **αὐτογνωμοσύνη**, ἡ, Ζωναρ. Λεξ. σ. 1371.

αὐτο-γνωσία, ἡ, αὐτὴ ἡ γνῶσις, Ῥήτορες (Walz) 3. 476· — προσέτι, **αὐτόγνωσις**, ἡ, Πρόκλ. εἰς Πλάτ. Ἀλκ. σ. 88, 8.

αὐτό-γνωτος, **ον**, αὐθαίρετος, σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά, «αὐθαίρετος καὶ ἰδιογνώμων τρόπος» (Σχόλ.), Σοφ. Ἀντ. 875, ἀλλ' ἴδε σημ. Jebb ἐν τόπῳ.

αὐτό-γονος, **ον**, αὐτογενής, αὐτογένεθλος, Νόνν. Δ. 8. 103. II. **αὐτογόνος**, ἐνεργ. Ἥφαιστος, ἄσπορος ἐκ γενετῆρος, ὃν αὐτογόνος τέκεν Ἥρη αὐτόθι 9. 229.

αὐτο-γραμμή, ἡ, ἡ ἁπλῶς ἐξ ἀφαιρέσεως γραμμή, οἵα εἶναι ἡ μαθηματική, Ἀριστ. Μεταφ. 6. 11, 6.

αὐτό-γραφος, **ον**, ἐπὶ ἐπιστολῆς, ἡ ἰδιοχείρως ὑπὸ τοῦ ἐπιστέλλοντος γραφεῖσα, τὰ δόξαντα εἰς ἐπιστολὰς κατεχώριζον αὐτογράφους Διον. Ἁλ. 5. 7, Πλουτ. Σερτ. 27: τὸ αὐτόγραφον, τὸ ἰδιοχείρως ὑπό τινος γεγραμμένον, τὸ πρωτότυπον, Πλούτ. 2. 1115C.

αὐτογύμναστος, **ον**, αὐτὸς ἑαυτὸν γυμνάσας, Μιχ. Μοναχ. Βίῳ Θ. Στουδ. σ. 240, ἔκδ. Mi.

αὐτό-γυος, **ον**, αὐτόγυον ἄροτρον, «μονόξυλον ἀλέτρι», δοιὰ δὲ θέσθαι ἄροτρα ... αὐτόγυον καὶ πηκτόν, «εἰ μὲν οὖν ἐν ξύλον ᾖ τὸ ὅλον ὁ γύης μέχρι τοῦ ζυγοῦ ἀπὸ τοῦ ἐλύματος, καλεῖται τὸ ἄροτρον αὐτόγυον· ἐὰν δὲ μικρότερος ᾖ τῆς χρείας ὁ γύης, ἐνσφηνοῦται τὸ ἕτερον αὐτῷ ξύλον τὸ συνάπτον αὐτὸν καὶ τὸν ζυγόν, καὶ καλεῖται τὸ μὲν ὅλον πηκτόν, τὸ δὲ ἐνσφηνωθὲν ἱστοβοεύς», (Πρόκλ. Σχόλ.) Ἡσ. Ἔργ. κ. Ἡμ. 430, Ἀπολλ. Ῥόδ. Γ. 232, 1285, ἴδε τὰς λέξεις **γύης**, **ἔλυμα** καὶ **ἱστοβοεύς**.

αὐτο-δαής, **ές**, αὐτοδίδακτος, ἀρετὰ Διαγόρ. ἐν Bgk. Λυρ. σ. 846: ὄρχημαθ' αὐτοδαῆ, «αὐτομαθῆ, ἃ σὺ σαυτὸν ἐδίδαξας» (Σχόλ.) Σοφ. Αἰ. 700.

αὐτο-δάϊκτος, ον, αὐτοφόνευτος, Αἰσχύλ. Θήβ. 735, Ὀππ. Ἁλ. 2. 349.

αὐτό-δαιτος, ον, = **αὐτόδειπνος**, Λυκόφρ. 480.

αὐτοδακὴς μῆνις· «μικρὰ» Ἡσύχ.

αὐτ-οδάξ, ἐπίρρ. δι' αὐτῶν τῶν ὀδόντων, γυναῖκες αὐτοδὰξ ὠργισμέναι, εἰς βαθμὸν τοιοῦτον, ὥστε νὰ δάκνωσιν ἀλλήλας, Ἀριστοφ. Λυσ. 687· τὸν αὐτοδὰξ τρόπον, τὸν «δαγκανιάρικον» τρόπον, ὁ αὐτ. Εἰρ. 607.

αὐτο-δεής, ές, οἴκοθεν ἐνδεής, Ἑρμ. Τρισμέγ. σ. 74.

αὐτό-δειπνος, ον, «ὅταν τις κεκλημένος ἑαυτῷ φέρῃ τὰ ἐπὶ δεῖπνον» Ἡσύχ., πρβλ. **αὐτόσιτος**.

αὐτό-δεκα, ἀκριβῶς δέκα, Θουκ. 5.20·— **αὐτο-δεκάς**, άδος, ἡ, αὐτὸς ὁ ἀριθ. δέκα, αὐτὴ ἡ δεκάς, Πλωτῖν. 6. 6, 14.

αὐτό-δερμος, ον, αὐτόφλοιος, Ἡσύχ.

αὐτο-δεσπότης, ου, ἀπόλυτος κύριος, Νικήτ. Εὐγ. 2. 226.— Ἐντεῦθεν **-ποτεία**, ἡ, Πρόκλ. εἰς Παρμεν. σ. 229 Stallb.

αὐτο-δέσποτος, ον. κύριος ἑαυτοῦ, ἐλεύθερος, Ἱεροκλ. 242· ἀπόλυτος κύριος, παθῶν Ἰωσήπ. Μακκ. 2. 13.—Ἐπίρρ. **αὐτοδεσπότως**, μεταγεν.

αὐτό-δετος, ον, ὁ ἀφ' ἑαυτοῦ δεδεμένος, Ὀππ. Κ. 2. 376.

αὐτό-δηλος, ον, ὁ ἀφ' ἑαυτοῦ φανερός, Αἰσχύλ. Θήβ.848· οὕτω καὶ ὁ Δινδ. ἐν Ἀριστοφ. Σφ. 463.

αὐτο-δημιούργητος, ον, ἀφ' ἑαυτοῦ δημιουργηθείς, ὅ ἐ. ἐν τῇ φυσικῇ αὐτοῦ καταστάσει, Ἡσύχ. ἐν λέξει **αὐτόξυλον**.

αὐτο-διακονία, ἡ, τὸ νὰ διακονῇ τις αὐτὸς ἑαυτῷ, Χρύσιππ. παρ' Ἀθην. 18Β.— Τὸ ῥῆμα **-κονέω** Εὐστ. 732, 65.

αὐτο-διάκονος [ᾰ], ον, ὁ ἑαυτῷ διακονῶν, Στράβ. 783· βίος Κλήμ. Ἀλ. 157.

αὐτο-δίδακτος, ον, ὑφ' ἑαυτοῦ διδαχθείς, Ὀδ. Χ. 347· αὐτ. ἔσωθεν θυμὸς Αἰσχύλ. Ἀγ. 991· φιλοσοφία Διον. Ἀλ. 5. 12. Ἐπίρρ. **-τως**, αὐτομάτως, Κλήμ. Ἀλ. 279.

αὐτο-διδάσκομαι, διδάσκομαι μόνος μου, ὑπὸ τῆς φύσεως Συνέσ. 126C.

αὐτο-διήγητος, ον, ἐξιστορούμενος ἀπ' εὐθείας, πρωτοπροσώπως, οὐχὶ ἐν σχήματι διαλόγου, Διογ. Λ.9.111· **αὐτοδιηγούμενος**, η, ον, αὐτοπροσώπως διηγούμενος, αὐτόθι.

αὐτο-δίκαιον, τό, αὐτὸ τὸ δίκαιον, τὸ πραγματικὸν δίκαιον, Ἀριστείδ. 2. 182:— **αὐτοδικαιοσύνη**, ἡ, αὐτὴ ἡ δικαιοσύνη, ἡ ἀληθὴς δικαιοσύνη, Ἰω. Χρυσ. τ. 3, σ. 611.

αὐτοδικέω, εἶμαι αὐτόδικος, ὁρίζω μόνος μου τὸ δίκαιον, Δείναρχ. παρ' Ἁρποκρ., Πολυδ. Η', 24.

αὐτό-δικος, ον, «αὐτόδικοι· οἱ ἑαυτοῖς δικασταῖς χρώμενοι, καὶ οὐκ ἀλλαχόθεν παραγινομένοις» (Ἡσύχ.)· καὶ Δελφοὺς αὐτονόμους εἶναι καὶ αὐτοτελεῖς καὶ αὐτοδίκους, καὶ αὐτῶν, καὶ τῆς γῆς τῆς ἑαυτῶν, κατὰ τὰ πάτρια Θουκυδ. 5. 18, Ἰωσήπ. Ἀρχ. Ἰ. 19. 2, 2.

αὐτό-διον, ἐπίρρ. παραχρῆμα, μόνον ἐν Ὀδ. Θ. 449. (Φαίνεται ὅτι προέκυψεν ἡ λέξις κατ' ἔκτασιν ἐκ τοῦ **αὐτός**, ὡς τὸ **μαψίδιος** ἐκ τοῦ **μάψ**, **μινυνθάδιος** ἐκ τοῦ **μίνυνθα**).

αὐτο-διπλάσιον, τό, αὐτὸ τὸ διπλάσιον, ἡ ἰδέα τοῦ διπλασίου, ὁ τύπος αὐτοῦ, Ἀριστ. Μεταφ. 1. 9, 6.

αὐτο-δόξα, ἡ, δοξασία ἀφῃρημένως, Ἀριστ. Τοπ. 8. 11, 14. II. αὐτὴ ἡ δόξα, ἀπόλυτος δόξα ἐπὶ τῆς θεότητος, Ἐκκλ.: — οὕτως, **αὐτοδοξάζομαι**, παθ. ἐπὶ τοῦ θεοῦ, ὅστις δοξάζεται, εἶναι ἔνδοξος ἐν ἑαυτῷ, Ἐπιφάν.

αὐτο-δόξαστος, ον, «αὐτοδόξαστον λέγοντες τὸ κυρίως καὶ μᾶλλον δοξαστόν» Σουΐδ.

αὐτό-δορος, ον, σὺν αὐτῇ τῇ δορᾷ, ταῦρον μέλανα κατακόψαντες αὐτόδορον ὁλοκαυτοῦσιν Πλούτ. 2. 694Β.

αὐτοδρομέω, τρέχω αὐτομάτως, αὐθορμήτως, Διονυσ. Βοσπόρ. Διάπλους σ. 53, Ἔκδ. Wescher.

αὐτό-δρομος, ον, τρέχων ἢ κινούμενος ἀφ' ἑαυτοῦ, αὐτοκίνητος, Γαλην. Λεξικ. σ. 444.

αὐτο-δυάς, άδος, ἡ, αὐτὴ ἡ δυάς, ὁ ἰδεώδης ἀριθμὸς δύο, Ἰω. Διάκ. Ἀλληγ. εἰς Ἡσ. Θεογ. σ. 452 Ἔκδ. Γαισφ.

αὐτο-δύναμις, εως, ἡ, αὐτὴ ἡ δύναμις, ἡ ἀπόλυτος δύναμις, παντοδυναμία, Ἀθανάσ. τ. 1. σ. 51, κλ.

αὐτο-δύναμος, ον, αὐτὸς καθ' ἑαυτὸν ἰσχυρός, Γρηγ. Ναζ. τ. 1. σ. 711D: ὡσαύτως **αὐτοδύνατος**, ον, Θεοφ. Σιμοκ. Ἱστ. 2. 4, 13.

αὐτο-ειδής, ές, ὁ ὅμοιος ἑαυτῷ, ὁμοιόμορφος, Μ. Ἀντων. 11. 12· ἀλλὰ πιθ. ἡ ὀρθὴ γραφὴ ἦτο **αὐγοειδής**.

αὐτο-εἶναι, τό, (**εἰμί**) τὸ ἀφ' ἑαυτοῦ ὑπάρχειν, τὸ αὐθύπαρκτον, ἐπὶ θεότητος, Διον. Ἀρεοπ. 513Α.

αὐτο-ειρήνη, ἡ, αὐτὴ ἡ εἰρήνη, πραγματικὴ εἰρήνη, Διονύσ. Ἀρεοπ. σ. 209, 258.

αὐτο-έκαστος, ον, = **αὐθέκαστος**, Ἀριστ. Τοπ. 8. 11, 14· τὸ αὐτοέκαστον, ἡ ἰδέα ἑκάστου πράγματος, ὁ αὐτ. Ἠθ. Ν.1.6, 5.

αὐτο-εκουσίως, ἐπίρρ. ἐξ ἰδίας θελήσεως, ἑκουσίως, Βυζ.

αὐτο-εκτᾶτος, ον, ἀφ' ἑαυτοῦ ἐκταθείς, Εὐστ. 943. 59.

αὐτο-έλικτος, ον, ἀφ' ἑαυτοῦ ἑλισσόμενος, ὁ ἐκ φύσεως «σγουρὸς» ἐπὶ τῶν τριχῶν τῆς κεφαλῆς, Χριστοδ. Ἔκφρ. 269· ὁ εἰς ἑαυτὸν ὑποστρέφων, κύκλος Νόνν. Δ. 33. 272 κτλ.

αὐτο-έν, τό, ἡ ἀφῃρημένη ἰδέα τοῦ ἑνός, Πρόκλ.: — **αὐτοενάς**, άδος, ἡ, ἡ ἀφῃρημένη ἰδέα τῆς μονάδος, Πρόκλ.

αὐτο-εννεάς, ἡ, ἡ ἀφῃρημένη ἰδέα τοῦ ἀριθμοῦ ἐννέα, Σχόλ. εἰς Ἀριστ. σ. 833. 1.

αὐτοεντεί, ἐπίρρ. αὐτοχειρί, Δίων Κ. 58. 24· διάφ. γρ. **αὐτοεντία**.

αὐτο-έντης, ου, ὁ, παρὰ Σοφ. ἀντὶ **αὐθέντης**, φονεύς, Ο.Τ. 107, Ἠλ. 272· πρβλ. Λοβ. Φρύν. 120.

αὐτο-έπαινος, ον, ὁ ἑαυτὸν ἐπαινῶν, αὐτοέπαινον Σχόλ. εἰς Ἰλ. Π. 70.

αὐτο-επιθυμία, ἡ, αὐτὴ ἡ ἐπιθυμία, δι. γραφ. ἐν Ἀριστ. Τοπ. 6. 8, 7.

αὐτο-ετεί, ἐπίρρ. τοῦ ἑπ., τῷ αὐτῷ ἔτι, Θεόκρ. 28. 13 (ὁ Bgk. αὐτοένει ἐκ τοῦ ἕνος, ἐνιαυτός), Θεοφρ. Αἰτ. Φ. 3. 12, 1. Ἴδε Κόντον ἐν Ἀθηνᾶς τ. Α', σ. 187.

αὐτο-ετής, ές, (ἔτος), τοῦ αὐτοῦ ἔτους, ἐν τῷ αὐτῷ ἔτει, ἐνιαύσιος, Ἀριστ. Ἱστ. Ζ. 5. 14, 10· αὐτοετεῖς αὐαίνονται Θεοφρ. Ἱστ. Φ. 3. 7, 1·—Ἐπίρρ. **αὐτόετες**, τῷ αὐτῷ ἔτει, Ὀδ. Γ. 322, Δίων Κ. 36. 20.

αὐτο-ζήμιος, ον, ὑφ' ἑαυτοῦ τιμωρηθείς, Ἡσύχ. ἐν λέξει **αὐτόχαρνος**.

αὐτο-ζήτητος, ον, «ὁ μὴ παρ' ἑτέρου ζητηθείς, ἀλλ' αὐτὸς ἑαυτὸν ἐπαγαγών» Ἐτυμ. Μ. 173. 13· πρβλ. **αὐτοδόνητος**.

αὐτό-ζυμος, ον, ὁ, ἀφ' ἑαυτοῦ ζυμωθείς· ἀλλ' ἴσως σημαίνει ἄρτον ἄνευ ζύμης, ἄζυμον, «σῖτος ἑψητὸς καὶ οἱ ἐξ αὐτοῦ ἄρτοι ἤτοι αὐτόζυμοι» Ermerins Anecd. Med. σ. 275.

αὐτο-ζωή, ἡ, ὕπαρξις μὴ ὀφειλομένη εἰς ἕτερον, ἐπὶ τῆς θεότητος, Γρηγόρ. Νύσσ. τ. 3. σ. 46C, κλ.

αὐτό-ζωον, ἢ **αὐτοζῷον**, τό, τὸ ζῷον αὐτὸ καθ' ἑαυτὸ ἀφῃρημένως, Ἀριστ. Τοπ. 5. 7, 7. II. **αὐτό-ζωος**, ον, ἢ **αὐτόζως**, ζων, ἀφ' ἑαυτοῦ ὑπάρχων, Πρόκλ. εἰς Πλάτ. Θεολ. σ. 18, 38, 145, 149, Δαμασκ. τ. 2. σ. 837Ε, κλ.

αὐτό-ηδυ, τό, αὐτὸ τὸ ἡδύ, ἡδονὴ ἀφῃρημένως, διάφ. γραφ. ἐν Ἀριστ. Τοπ. 6. 8, 7, ἀντὶ **αὐτοῦ ἡδέος**.

Αὐτο-θαΐς, ἡ, αὐτὴ ἡ Θαΐς, ἀπαράλλακτος, Λουκ. Ρητόρ.διδ.12.

αὐτο-θάνατος [ᾰ], ον, αὐτὸς ἑαυτὸν φονεύσας, Πλούτ.2.293Ε.

αὐτόθε, ἴδε **αὐτόθεν**.

αὐτοθέλημα, τό, αὐτὸ καθ' ἑαυτὸ τὸ θέλημα, Ἐπιφάν. τ.1.σ.963.

αὐτοθελεί, ἐπίρρ. τοῦ ἑπομ., ἑκουσίως, αὐτοθελήτως, Ἀνθ.Π.7. 470· ἴδε ἐν λ. **αὐτεθελεί**.

αὐτοθελής, ές, ἑκούσιος, Ἀνθ. Π. 9. 79. Ἐπίρρ. **-λῶς** Εὐστ. Ἰλ. σ. 771, 20, Τζέτζ. Ἐπιστ. 79, σ. 73, 2.

αὐτο-θέλητος, ον, ἐξ ἰδίας θελήσεως, αὐτόματος, αὐτὸς ἀφ' ἑαυτοῦ, Ἰω. Γεωμ. Ὕμν. 3. 54. Ἐπίρρ. **-τως**, Ἐπιγρ.

αὐτο-θέμεθλος, ον, ὁ ἀφ' ἑαυτοῦ θεμελιωθείς, Νόνν. μετάφρ. Εὐαγγ. κ. Ἰω. ιδ', 23.

αὐτόθεν, πρὸ συμφώνου ἐνίοτε **αὐτόθε** (Θεόκρ. 5, 60): Ἐπίρρ. (αὐτοῦ):— τοπικόν, ἐξ αὐτοῦ τοῦ τόπου, ὡς τὸ Λατ. illinc, indidem, ἀκριβῶς ἐξ αὐτοῦ τοῦ μέρους, κοινῶς «αὐτοῦθε», Ὅμ. καὶ Ἀττ., ἀλλὰ λίαν σπάνιον παρὰ Τραγ., ἴδε κατωτ., συχνάκις μετὰ προθέσεως.., αὐτόθεν ἐξ ἕδρης, ἀπὸ ἐκεῖ ὅπου ἐκάθητο, Ἰλ.Τ.77· αὐτόθεν ἐξ ἑδρέων Ὀδ. Ν. 56, πρβλ. Φ. 420· αὐτόθεν ἐκ Σαλαμῖνος Ἡρόδ. Θ. 64· ἐκ τοῦ Ἄργους αὐτόθεν Θουκ. 5.83· Ἄργεος ἐξ ἱεροῖο αὐτόθεν Θεόκρ. 25. 170· σὺ δ' αὐτόθεν μοι χαῖρε, ἐκ τοῦ μέρους ἔνθα ἵστασαι, χωρὶς νὰ ἔλθῃς πλησιέστερα, Σοφ. Ο. Κ. 1137· τῶν μὲν αὐτόθεν, τῶν δὲ ἀπὸ Στρυμόνος, τινῶν μὲν ἐξ αὐτῆς τῆς χώρας, ἑτέρων δὲ.., Ἡρόδ. 1. 64· αὐτόθεν βιοτεύειν, εὑρίσκειν τὰ πρὸς τὸ ζῆν ἐκ τοῦ τόπου, Θουκ. 1. 11, πρβλ. Ξεν. Ἀγησ. 1. 28:—οἱ αὐτόθεν, οἱ ἐπιχώριοι, Θουκ. 2. 25., 6. 21, πρβλ. 4. 129· χρυσὸς αὐτόθεν καθαρός, ἐκ τούτου τοῦ μέρους, Πολύβ. 34. 10, 12· ἐνθένδ' αὐτόθεν Ἀριστοφ. Ἀχ.116. 2) ἀφ' ἑαυτοῦ, ἐξ ἰδίας θελήσεως, αὐτομάτως, Δημ. 1215, ἐν τέλει. II. χρονικόν, παραχρῆμα, πάραυτα, «'ς τὴν στιγμήν», ἀμέσως, Λατ. illico, Αἰσχύλ. Ἱκ. 101, Ἡρόδ. 8. 64· δῆλος ἐστιν αὐτ. Ἀριστοφ. Ἱπ. 330, πρβλ. Ἐκκλ. 246· λέγετε αὐτόθεν Πλάτ. Γοργ. 470Ε, Συμπ. 213Α· ἅπαξ διὰ παντός, Θουκ. 1. 141. III. ἁπλῶς μόνον, τὸ μὲν ἔρκεσιν αὐτόθεν.., τὸ δὲ πληγῇ Πλάτ. Σοφ. 220Β.

αὐτό-θεος, ὁ, αὐτὸς ὁ Θεός, Εὐσ. Ἐκκλ. Ἱστ. 10. 4, σ.109Α: — **αὐτοθεότης**, ητος, ἡ, αὐτὴ ἡ θεότης, Ἐπιφάν. τ. 2. σ. 900D.

αὐτό-θερμος, ον, αὐτὸς ἀφ' ἑαυτοῦ θερμός, Ὀλυμπιόδ. ἐν τῷ Πίνακι τῶν Α. Β. σ. 1348. — **αὐτοθερμότης**, ητος, ἡ, Βασίλ.

αὐτό-θετος, ον, ἀφ' ἑαυτοῦ τεθειμένος, Α. Β. 848, 16.

αὐτό-θηκτος, ον, ἀφ' ἑαυτοῦ τεθηγμένος, ἠκονημένος, λαβὼν αὐτόθηκτον Εὐβοϊκὸν ξίφος, «κατασκευασθὲν ἐκ τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν» (Πλούτ. 434Δ) Αἰσχύλ. Ἀποσπ. 371.

αὐτο-θηλύνομαι, ἐκθηλύνω αὐτὸς ἐμαυτόν, μεταγεν.

αὐτο-θήρευτος, ον, ὁ, ὁ ἀφ' ἑαυτοῦ θηρευθείς, = **αὐτάγρετος**, Σχόλ. εἰς Ὀππ. Ἁλ. 5. 588.

αὐτο-θήριον, τό, αὐτὸ τοῦτο θηρίον, Ἰω. Χρυσ. π. Ρωμ. Ὁμιλ. 2. τ. 3. σ. 16.

αὐτόθῐ, ἐπίρρ. ἀντὶ αὐτοῦ, = **ἐν αὐτῷ τῷ τόπῳ**, αὐτόθ' ἔασε κεῖσθαι Ἰλ. Ε. 847, κτλ.· παρ' αὐτόθι, (εἰ μὴ ἀναγνωστέον **αὐτόφι**) Ψ. 147· ὡσαύτως παρ' Ἡροδ. 1. 93., 2. 44, 56, κ. ἀλλ.· συχν. παρ' Ἀττ., κωμικοῖς τε καὶ πεζ., Ἀριστοφ. Ἱππ. 119, Φερεκρ. ἐν «Κραπατάλλοις» 2, (ἔνθα ὁ Meineke ἔχει **εὐθέως**), Πλάτ. Πρωτ. 314Β, κ. ἀλλ.

αὐτό-θροος, ον, αὐτόθροος μαρτυρίη, ἐξ αὐτῆς τῆς φωνῆς τοῦ λέγοντος προερχομένη, Νόνν. μετάφρ. Εὐαγγ. κ. Ἰω. ε', 124.

αὐτο-ἵππος, ὁ, αὐτὸς ὁ ἵππος, ἡ ἀφῃρημένη ἰδέα τοῦ ἵππου, Ἀριστ. Μεταφ. 6. 16, 6.

αὐτό-ῑσος, ον, ὁ πράγματι ἴσος, Ἀριστ. Ἀποσπ. 182 (σ.1509a 19).

αὐτο-ισότης, ητος, ἡ, αὐτὴ ἡ ἰσότης, ἡ ἀφῃρημένη ἰδέα τῆς ἰσότητος, Διον. Ἀρεοπ. σ. 493Α.

αὐτο-ισχύς, ύος, ἡ, αὐτὴ ἡ ἰσχύς, Ὠριγέν. Ψαλμ. τ. 1. σ. 326, 22.

αὐτο-κάβδαλος, ον, εἰργασμένος ἢ πεπραγμένος ἀμελῶς, νωθρῶς, εἰκῇ καὶ ὡς ἔτυχεν, ἐπί τε προσώπων καὶ πραγμ., Ἀριστ. Ρητ. 3. 14, 11· περὶ εὐόγκων αὐτοκαβδάλως λέγειν, ὁμιλεῖν εἰκῇ καὶ ἀλογίστως ἐπὶ σπουδαίων ὑποθέσεων, αὐτόθι 3. 7, 2· ἀτὐοκάβδαλον σκάφος, προχείρως ναυπηγηθέν, «αὐτοκατασκεύαστον» (Σχόλ.) Λυκόφρ. 745. **II.** Αὐτοκάβδαλοι, ἦσαν εἶδος ὑποκριτῶν βωμολόχων ἀπαγγελλόντων αὐτοσχέδια καὶ ἀνάξια λόγου ποιήματα, «Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ παιάνων, οἱ αὐτοκάβδαλοι, φησί, καλούμενοι ἐστεφανωμένοι κιττῷ σχέδην ἐπέραινον ῥήσεις. Ὕστερον δὲ ἴαμβοι ὠνομάσθησαν αὐτοί τε καὶ τὰ ποιήματα αὐτῶν» Ἀθήν. 622Β, πρβλ. Εὔπολ. ἐν «Μαρικᾷ» 16, Λουκ. Λεξιφ. 10. (Ἡ παραγωγὴ τῆς λέξεως **κάβδαλος** εἶναι ἄγνωστος, ἴδε Λοβ. Παθολ. 94).

αὐτο-κάθαρσις, εως, ἡ, αὐτὴ ἡ κάθαρσις, ἀληθὴς ἡ ἀπόλυτος κάθαρσις, Γρηγ. Ναζ. II. 400C.

αὐτο-καθόλου, αὐτὸ τὸ καθόλου, Παχυμ. ἐν Δ. Ἀρεοπ. 481.

αὐτο-κᾰκία, ἡ, αὐτὴ ἡ κακία, Εὐστ. Πονημάτ. 123, 31.

αὐτό-κᾰκος, ον, «αὐτόκακον ἔοικε τῷδε: ἄκρως καὶ καθ' ὑπερβολὴν ἔοικε τῷδε, ὡς εἰ λέγοι τις αὐτῷ ἄκρως ἔοικε· τὸ δὲ κακὸν πρόκειται δηλοῦν τὴν ὑπερβολὴν τῆς ὁμοιότητος. Ὅμηρος· αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν (Ἰλ. Γ. 158), τὸ γὰρ αἰνῶς καὶ δεινῶς τῷ κακῶς ταὐτὸ σημαίνει» Α. Β. 8. 27. **2)** ὁ εἰς ἑαυτὸν κακός, ὁ ἑαυτὸν κολάζων, Θεόπομπ. Κωμ. ἐν «Θησεῖ» 4· ὁ πλήρης κακίας, ὁ ἐν ἑαυτῷ ἔχων πᾶσαν κακίαν, ὁ ἀποτελῶν αὐτὴν τὴν κακίαν, «μνησικακίας αὐτοὺς γράφοντες οἱ αὐτόκακοι (μοναχοί)» Εὐστ. Πονημάτ. 262, 20.

αὐτο-καλλονή, ἡ, αὐτὴ ἡ καλλονή, ἡ ἀφῃρημένη ἰδέα τῆς καλλονῆς, τὸ ἀπόλυτον κάλλος, Πρόκλ. Θεολ. Πλάτ. 1. 24.

αὐτοκαλλοποιός, αὐτὸς ὁ καλλοποιός, Διον. Ἀρεοπ. Θ. Ὀν. 11. 6. 517C.

αὐτό-καλλος, τό, αὐτὸ τὸ κάλλος, ἡ ἰδέα τοῦ κάλλους, Πρόκλ. Θεολ. Πλάτ. 5. 14.

αὐτο-κᾰλον, τό, αὐτὸ τὸ καλόν, τὸ ἰδεῶδες καλόν, ὁ τύπος τοῦ καλοῦ, Ἀριστείδ. 2. 182.

αὐτό-καρνος, ον, παρ' Ἡσυχ. = **αὐτοζήμιος**.

αὐτό-καρπος, ον, ὁ ἐξ ἑαυτοῦ κάρπιμος, Α. Β. 464.

αὐτο-κᾰσιγνήτη, ἡ, αὐταδέλφη, Ὀδ. Κ. 137, Εὐρ. Φοιν. 136, κτλ.

αὐτο-κᾰσίγνητος, ὁ, αὐτάδελφος, Ἰλ. Β. 706, κ. ἀλλ.

αὐτο-κατάθετος, ον, ὁ ἀφ' ἑαυτοῦ ὁμολογῶν, Θεοφ. Σιμοκ. σ. 158 ἐν τέλει.

αὐτο-κατάκρῐτος, ον, ὁ ἀφ' ἑαυτοῦ κατακρινόμενος, Ἐπιστ. π. Τιτ. γ', 11, Ἐκκλ.

αὐτο-κατάρα, ἡ, αὐτὴ ἡ κατάρα, Γρηγ. Ναζ. 1. 496.

αὐτο-κατασκεύαστος, ον, ἀφ' ἑαυτοῦ κατασκευασθείς, Σχόλ. εἰς Αἰσχύλ. Πρ. 298, 301.

αὐτο-κατήγορος, ον, κατήγορος ἑαυτοῦ, Θεόδ. Ὑρτακ. Ἐπ. 29 ἐν Notices et Extr. τ. 5. σ. 744.

αὐτό-καυστος, ον, ὁ ἀφ' ἑαυτοῦ καείς, Θεοδ. Προδ. Ροδ. 1. σ. 6.

αὐτο-κέλευθος, ον, ὁ ἰδίαν πορευόμενος ὁδόν, Τρυφ. 314, Ἀνθ. Π. 9. 362.

αὐτο-κέλευστος, ον, ἀφ' ἑαυτοῦ, ἐξ οἰκείας θελήσεως, Ξεν. Ἀν. 3. 4, 5, Διον. Ἁλ. 8. 66, Ἀνθ. Π. 5. 22. — Ἐπίρρ. **-τως** Ἐκκλ. ἀλλ' ὡσαύτως **αὐτοκελευστί** Φίλων σ. 19. Mai.

αὐτο-κελής, ές, = τῷ προηγ., Ἡρόδ. 9. 5.

αὐτόκερας (κεράννυμι), ἢ **αὐτοκέρας**, «σημαίνει: τὸ αὐτοκέραστον καὶ συμμέτρως κεκερασμένον, ἤγουν πεφυκὸς κεράννυσθαι· εἴρηται δὲ ἐπιρρηματικῶς» Φρύν. ἐν Α. Β. 3, Πολυδ. Ϛ', 24, ἴδε Λοβ. Παραλειπ. σ. 223.

αὐτο-κέραστος, ὁ ἀφ' ἑαυτοῦ κεκερασμένος, δηλ. ἀμιγής, κυρίως ἐπὶ ἐλαφρῶν οἴνων, οἵτινες δὲν ἐπιδέχονται ὕδωρ, οὐδὲ χρήζουσιν αὐτοῦ, Α. Β. 3· μεταφ., μετ' ἀπολύτου ἐξουσίας, Χρησμ. Σιβυλλ. 8. 135.

αὐτο-κέφαλος, ον, παρ' Ἐκκλ. ἐπὶ ἀρχιεπισκοπῶν ἢ ἀρχιεπισκόπων ἀνεξαρτήτων ἀπὸ τῆς πατριαρχικῆς δικαιοδοσίας, τοῦ αὐτοκεφάλου ἀρχιεπισκόπου τῆς Κυπρίων νήσου Χρυσόβουλλον Ἀλέξ. Κομν. παρὰ Montfauc. Bibl. Coisl. σ. 103, 47, κτλ.

αὐτο-κήρυξ, ῡκος, ὁ, «ὁ μὴ δι' ἑτέρων ἀλλὰ δι' ἑαυτοῦ κηρυκεύων· ἔστι δὲ ὅμοιον τῷ αὐτουργός, αὐτεπάγγελτος», Α. Β. 5, 14.

αὐτο-κῑνέω, ἔχω ἐν ἐμαυτῷ τὴν τοῦ κινεῖν ἐνέργειαν, Πρόκλ.· — ὡσαύτως **-κινητίζω**, Α. Β. 1348 ἐν τῷ πίνακι.

αὐτο-κίνησις [ῑ], εως, ἡ, ἡ δύναμις τοῦ κινεῖσθαι, ἢ ἡ ἑκουσία κίνησις, διάφ. γραφ. ἐν Ἀριστ. Φυσ. 8. 9, 10· **-νησία**, ἡ, Πρόκλ.

αὐτο-κίνητος [ῑ], ον, ὁ ἀφ' ἑαυτοῦ κινούμενος, Ἀριστ. Φυσ. 8. 5, 21, Πλούτ., κλ.—Ἐπίρρ. **-τως**, Ἐκκλ.· — ὡσαύτως **αὐτοκινητικός**, ή, όν, Διον. Ἀρεοπ. σ. 202.

αὐτο-κλᾶδος, ον, σὺν αὐτοῖς τοῖς κλάδοις, ἐκωπηλάτουν κυπαρίττοις μεγάλαις αὐτοκλάδοις καὶ αὐτοκόμοις ὥσπερεὶ ἐρετμοῖς Λουκ. π. Ἀλ. Ἱστ. Α. 40.

αὐτό-κλητος, ον, ὁ ὑφ' ἑαυτοῦ κληθείς, ὅ ἐ. ἄκλητος, ἀπρόσκλητος, Αἰσχύλ. Εὐμ. 170, Σοφ. Τρ. 392, αὐτόκλητος ἐπὶ τὸν τοιοῦτον οὐκ ἔρχομαι ξυμβουλεύσων Πλάτ. Ἐπιστ. 331Β.— Ἐπίρρ. **-τως** Κύριλλ. Ἀλ. εἰς Μιχαίαν σ. 418.

αὐτο-κμής, ῆτος, ὁ, ἡ, (κάμνω) = **αὐτοπόνητος**, Ὀππ. Ἁλ. 1. 718.

αὐτό-κομος, ον, μετὰ φυσικῆς κόμης, δασύς, λοφιὰ Ἀριστοφ. Βάτρ. 822. **II.** σὺν αὐτῇ τῇ κόμῃ, δηλ. σὺν αὐτῇ τῇ κόμῃ τῆς κυπαρίσσου, Λουκ. π. Ἀλ. Ἱστ. Α. 40, ἴδε **αὐτόκλαδος**.

αὐτοκόμματον, μονοκόμματον, Λύδ. καὶ Ροδ. στ. 2527. Ἐκδ. Wr.

αὐτό-κρᾶνος, ον, «αὐτόκρανον λόγον, τὸν ἐξ ἑαυτοῦ τὸ τέλος ἐπιφέροντα· οὕτως Αἰσχύλος» (Ἀποσπ. 429) Α. Β. 467, 10. **II.** Παθ., ὁ ἀφ' ἑαυτοῦ φανερός, αὐτόδηλος, Ἐτυμ. Μ· — «αὐτόκρανα· αὐτόδηλα, ἑαυτὰ δηλοῦντα, ἡ κίονα μονόλιθον» Ἡσύχ.

αὐτό-κρας, = **αὐτοκέραστος**, Πολυδ. Ϛ', 24.

αὐτοκράτεια, ἡ, ἀπόλυτος ἐξουσία, κυριαρχία, Πλάτ. Ὅροι 412D.

αὐτοκράτειρα, ἡ, θηλ. τοῦ **αὐτοκράτωρ**, Ὀρφ. Ὕμν. 69. 8.

αὐτο-κρᾰτής, ές, ὁ κυβερνῶν κατὰ τὴν ἰδίαν του θέλησιν, αὐτεξούσιος, ἀπόλυτος κύριος, νοῦς Ἀναξαγ. 8 (πρβλ. **αὐτοκράτωρ** 3)· τύχη Ἱππ. 423. 5· φρὴν Εὐρ. Ἀνδρ. 483· ἀπειθής τε καὶ αὐτ. Πλάτ. Τίμ. 91Β: — τὸ αὐτ., ἡ αὐτοκράτεια, ἡ ἐλευθέρα βούλησις, Πλούτ. 2. 1026C.—Ἐντεῦθεν ῥῆμα **αὐτοκρατέω**, εἶμαι αὐκρατής, Εὐστ. Πονημάτ. 202. 48: — ὡσαύτως **αὐτοκρατητικός**, ή, όν, Διον. Ἀρεοπ. π. Οὐρ. Ἱερ. 15. 2, σ. 57 (129Α).

αὐτοκρᾰτορεύω, εἶμαι ἢ γίνομαι **αὐτοκράτωρ**, Δίων Κ. 69. 4: — ὡσαύτως **αὐτοκρατορέω**, Γεώργ. Ἀκροπ. σ. 163, 14, κλ.

αὐτοκρᾰτορία, ἡ, ἀπόλυτος ἐξουσία ἢ κυβέρνησις, τὸ κράτος τοῦ αὐτοκράτορος, τῷ Τραϊανῷ ἡ τῆς αὐτοκρατορίας ἀρχὴ προερρήθη Δίων Κ. 67. 92· παρὰ Βυζ., ἡ σὴ Αὐτοκρατορία = ἡ σὴ Μεγαλειότης.

αὐτοκρᾰτορικός, ή, όν, ὁ τοῦ αὐτοκράτορος, ὁ εἰς τὸν αὐτοκράτορα ἀνήκων, ἢ διὰ τὸν αὐτοκράτορα ἁρμόδιος, Διον. Ἁλ. 8. 59. **2)** ἐλεύθερος, αὐτεξούσιος, Κλήμ. Ἀλ. 434.—Ἐπίρρ. **-κῶς**, δεσποτικῶς, Πλουτ. Ἀντ. 15.

αὐτοκρατόριος, = τῷ προηγ., Συλλ. Ἐπιγρ. 4283, 1.

αὐτοκρᾰτορίς, ἡ, ἡ ἕδρα ἀπολύτου ἄρχοντος, Ἰωσήπ. Ἀρχ. Ἰ. 18. 2, 1: — **αὐτοκρατόρισσα**, ἡ, αὐτοκράτειρα, Ἄννα Κομν. σ. 463: — **αὐτοκρατορόθεν**, ἐπίρρ., ἐκ τοῦ αὐτοκράτορος, Ἄννα Κομν. σ. 363

αὐτό-κρᾶτος, ον, = **αὐτοκέραστος**, Ἀθήν. 32Ε, Α. Β. 18, 15.

αὐτο-κράτωρ, ορος, ὁ, ἡ, (κρατέω) ἑαυτοῦ κύριος, ἑπομένως, **1)** ἐπὶ πόλεως ἀνεξαρτήτου ἢ πολιτῶν ἐλευθέρων, αὐτεξούσιος, Λατ. sui juris, πόλιν ἕξοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα Θουκ. 4. 63· ἐπὶ παίδων εἰς ἥβην ὁρμωμένων, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε κτλ. Ξεν. Ἀπομν. 2. 1, 21. **2)** ἐπὶ πρέσβεων καὶ ἐπιτρόπων ἐχόντων πλήρη ἐξουσίαν, αὐτοκράτορά τινα ἐλέσθαι, πληρεξούσιον, Ἀριστοφ. Εἰρ. 359· πρέσβεις ὁ αὐτ. Ὀρν. 1595, πρβλ. Λυσίαν. 130. 29· ξυγγραφεῖς Θουκ. 8. 67· προσέτι αὐτ. βουλὴ Ἀνδοκ. 3. 13, πρβλ. Ἑρμάνν. Πολιτ. Ἀρχ. § 125. 10· ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι, τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος Θουκ. 5. 27. **3)** ἐπὶ ἀρχόντων, ἀπόλυτος, ἀνεύθυνος, στρατηγοὶ ὁ αὐτ. 6. 72· ἄρχοντες Ξεν. Ἀν. 6. 1, 21· ἀνυπεύθυνος καὶ αὐτ. ἄρχειν Πλάτ. Νόμ. 875Β· ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τὴν φυλακήν, καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι, νὰ διαθέσωσι τὰ πάντα κατ' ἰδίαν βούλησιν, Θουκ. 1. 126, πρβλ. Πλάτ. Πολιτ. 299C· ἦρχε τῶν ἀκολουθούντων αὐτοκράτωρ ὤν, περὶ τοῦ Φιλίππου, Δημ. 305. 26· μόναρχοι Ἀριστ. Πολ. 4. 10, 2· ὁπόθεν στρατηγία τις αὐτοκράτωρ, πρέπει νὰ γραφῇ (ἀντὶ αὐτοκρατόρων)

ἐν 3. 14, 4· νοῦς αὐτ. (πρβλ. **αὐτοκρατής**) Ἀναξαγ. παρὰ Πλάτ. ἐν Κρατ. 413C: — ἐντεῦθεν ἐν χρήσει πρὸς μετάφρασιν τοῦ Ρωμαϊκοῦ Dictator, Πολύβ. 3. 86, 7, κτλ.. μετὰ ταῦτα δὲ ἔλαβε τὴν σημερινὴν σημασίαν τοῦ **αὐτοκράτορος**, Πλουτ. Γάλβ.1, κτλ. 4) ὁ μὴ δεχόμενος ἀντιλογίαν, εἰωθότες οἱ ἄνθρωποι οὗ μὲν ἐπιθυμοῦσιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται λογισμῷ αὐτοκράτορι διωθεῖσθαι, «ἔθος ὂν τοῦτο ἀνθρώποις ἀρχαῖον, οὗ μὲν ἐπιθυμοῦσιν, ἀπερισκέπτως ἐλπίζειν καὶ δέχεσθαι, κἂν ἐπιβλαβὲς ᾖ καὶ σφαλερόν· ᾧ δὲ μὴ ἀρέσκονται, χρῆσθαι λογισμῷ αὐτοκράτορι πρὸς τὸ ἀπωθεῖσθαι τοῦτο κἂν ὠφέλιμον τύχῃ ὂν καὶ σωτήριον» (Σχόλ.), Θουκ. 4. 108. II. μετὰ γεν., ἐντελὴς κύριος, ἑαυτοῦ, τῆς τύχης ὁ αὐτ. 3. 62., 4. 69: τῆς αὐτοῦ πορείας Πλάτ. Πολιτικ. 274A· τῆς ἐπιορκίας αὐτοκράτωρ, ἐντελῶς ἐλεύθερος νὰ ἐπιορκήσῃ, Δημ. 215. 2: — μετ' ἀπαρ., αὐτ. κολάσαι, ἔχων πλήρη ἐξουσίαν νὰ τιμωρήσῃ, ὁ αὐτ. 1372. 14. Κλητ.: **ὦ αὐτοκράτορ** Λουκ. Ὑπὲρ τοῦ ἐν Προσαγ. Πταίσμ. 18.

αὐτο-κρηής, ές, = **αὐτοκέραστος**, Νικ. Ἀλεξιφ. 163.

αὐτό-κρῐτος, ον, (κρίνω) ὁ ἔχων ἐν ἑαυτῷ τὴν κρίσιν, τὴν ἑρμηνείαν, οὕτως οὖν καὶ τὰς ἐν τοῖς ὕπνοις γενομένας κρίσεις τῶν ὀνείρων, ἐὰν μὲν ἁπλαῖ ὦσι καὶ μὴ αἰνιγματώδεις, αὐτοκρίτους εἶναι νόμιζε καὶ ἔχειν αὐτὰς ἐν ἑαυταῖς τὰς κρίσεις Ἀρτεμίδ. 4. 72.

αὐτό-κτητος, ον, ἰδιόκτητος, χωρίον Συλλ. Ἐπιγρ. 2488, II. I.

αὐτο-κτίστης, αὐτὸς ὁ κτίστης, Πλουτ. Ἠθ. σ. 223.

αὐτό-κτῐτος, ον, (κτίζω) ὁ αὐτομάτως γενόμενος, ὁ ἐκ φύσεως σχηματισθείς, πετρηρεφῆ αὐτόκτιτ' ἄντρα Αἰσχύλ. Πρ. 301· «αὐτοκτί[σ]τους δόμους· οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταὐτομάτου γεγενημένους, ἢ τοὺς οἰκουμένους. Σοφοκλῆς Κηδαλίωνι» Ἡσύχ. (Σοφ. Ἀποσπ. 306).

αὐτοκτονέω, κτείνω ἰδίᾳ χειρί, ἀδελφὼ δύο μίαν καθ' ἡμέραν αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον κοινὸν κατειργάσαντ' ἐπαλλήλοιν χεροῖν Σοφ. Ἀντ. 56, ἔνθα ἴδε σημ. Jebb. Ἡ τῶν χειρογρ. γραφὴ εἶναι **αὐτοκτενοῦντε** καὶ **αὐτοκτενοῦντες**· ὁ Κοραῆς ἐν Ἡλιοδ. Αἰθ. τόμ. Β', σ.7 λέγει: «ἀναγνωστέον αὐτοκτονοῦντε (ὅ ἐστιν ἑαυτοκτονοῦντε, ἤγουν ἀλληλοκτονοῦντε), ὀμικρογραφοῦντας τὴν τρίτην ἀπὸ τέλους».

αὐτοκτονία, ἡ, = **αὐτοφονία**, Κλήμ. Ὁμιλ. 12. 14.

αὐτο-κτόνος, ον, ὁ ἰδίᾳ χειρὶ κτείνων. — Ἐπίρρ. **αὐτοκτόνως**, ἰδιοχείρως, δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως Αἰσχύλ. Ἀγ. 1635: — οὕτω, τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον, ἐπὶ τῆς Μηδείας, ἥτις ἀπέκτεινε τὰ ἴδια ἑαυτῆς τέκνα, Εὐρ. Μήδ. 1254. 2) ἀλληλοκτόνος, ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων Αἰσχύλ. Θήβ. 805· ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος, ἀμοιβαῖος, διὰ τῶν χειρῶν ἀλλήλων, αὐτόθι 681, πρβλ. **αὐτοκτόνως**, ἐπειδὰν αὐτοκτόνως αὐτοδάϊκτοι θάνωσι αὐτόθι 734· αὐτοκτόνα δῶρα, τὰ προξενοῦντα θάνατον εἰς τὸν λαμβάνοντα, Ἀνθ. Π. 7. 152.

αὐτο-κῠβερνήτης, ου, ὁ, αὐτὸς κυβερνῶν, αὐτοκυβερνῆται πρὸς κύτος ἐτρόχασαν Ἀνθ. Π. 9. 438.

αὐτό-κυκλος, ὁ, αὐτὸς ὁ κύκλος, ἡ ἰδέα, ὁ τύπος τοῦ κύκλου, Θεμίστ. 165A, πρβλ. Πλάτ. Ἐπιστ. 342C.

αὐτο-κύλιστος [ῠ], ον, ὁ ἀφ' ἑαυτοῦ κυλιόμενος, εἰσόκεν .. αὐτοκύλιστα πέσῃ μεθύουσιν ὁμοῖα Ὀππ. Ἁλ. 2. 604· αὐτοκίνητος, Νόνν. Δ. 2. 434.

αὐτο-κύριος, ὁ ὄντως κύριος, Γρηγ. Ναζ. σ. 610B.

αὐτό-κωλος, ἴδε **αὐόκωλος**.

αὐτό-κωπος, ον, σχεδιά τ' αὐτόκωπα νωμῶν ξίφη, «τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη, σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα, καὶ οὐ πόρρωθεν ὥσπερ τὰ βέλη» (Σχόλ.), Αἰσχύλ. Χο. 163· πρβλ. **πρόκωπος**: — Παρ' Ἡσυχ. δὲ **αὐτόλαβον**· «ἑαυτοῦ λαβὴν ἔχον».

αὐτο-λᾰλητής, οῦ, ὁ, ὁ ἑαυτῷ διαλεγόμενος, Τίμων παρὰ Διογ. Λ. 9. 69.

αὐτο-λεξεί, ἐπίρρ., αὐταῖς λέξεσι, Κλήμ. Ἀλ. 804: — οὕτω καὶ ἐπίθ. **αὐτόλεκτος**, ον, «ἵνα καὶ τῆς αὐτολέκτου αὐτοῦ λέξεως μνημονεύσω ἣν αὐτολεξεὶ αὐτὸς εἶπεν» Βίος Σάβα ἐν Cotel. Eccl. Gr. mon. τ.3. σ.331A. — Ἐπίρρ. -τως, αὐτολεξεί, Ἰω. Δαμ. τ.2. σ.856D.

αὐτο-λήκῠθος, ον, ὁ, «ὁ πένης, ἀπὸ τοῦ ἑαυτῷ τὰς ληκύθους φέρειν εἰς τὰ βαλανεῖα. οἱ δ' ἄσωτος, παρὰ τὸ τὰς συμβολὰς ἐν ταῖς ληκύθοις ἔχειν καὶ φέρειν εἰς τὰ συμπόσια» Α. Β. 204, 27· — κατὰ δὲ Ἁρποκρ. «αὐτολήκυθοι: Δημοσθένης κατὰ Κόνωνος (1261.17)· ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας καὶ μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους, ἢ αὐτουργούς, ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ λέγοι ἂν τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον· τὸ ὄνομα καὶ παρὰ Μενάνδρῳ ἔν τε Ἡνιόχῳ καὶ Δακτυλίῳ. ὅτι δὲ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποβάτῃ· ὅτι δὲ λύσαντες τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν, Μένανδρος Τροφωνίῳ». Πρβλ. Ἀντιφάν. ἐν «Ἀθάμαντι» 1 (Πολυδ. Γ', 62). II. κόλαξ, παράσιτος, Λουκ. Λεξιφ. 10, Πλούτ. 2. 50C, ἔνθα ἴδε Οὐϋττεμβάχ.

αὐτο-λίθινος, ον, ὅλως λίθινος, μεταφ., σκληρὸς ὡς λίθος, αὐτολίθινος τὴν ψυχὴν Ἰω. Χρυσ. τόμ. 1. σ. 30. 42.

αὐτό-λῐθος, πεποιημένος ἐξ ἑνὸς μόνου λίθου, αὐτολίθοισι ληκύθοις Σοφ. (Ἀποσπ. 133) παρὰ Πολυδ. Γ', 120, κατ' εἰκασίαν τινὰ ἀμφίβολον τοῦ Hemsterth. ἀντὶ **αὐτοχείλεσι**. 2) ὄντως λίθος, Ἰω. Χρυσ. τ.10, σ. 287E.

αὐτο-λόγος, ὁ, αὐτὸς ὁ λόγος τοῦ Θεοῦ, Ὠριγέν. κ. Κέλσ. 2, σ. 79. 32.

αὐτο-λόχευτος, ον, ὁ ἀφ' ἑαυτοῦ γεννηθείς, Νόνν. Δ. 4. 427, Χρησμ. Σιβυλλ. 1. 20.

αὐτο-λυρίζων, ὁ ἑαυτῷ λυρίζων, καὶ μάλιστα ὁπόταν ᾄδῃ καὶ ἁβρὸς εἶναι θέλῃ, 'ὄνος αὐτολυρίζων, φασίν' αὐτόχρημα ὄνος ὀγκώμενος, παροιμ. ἐν Λουκ. Ἑταιρ. διαλ. 14. 4.

αὐτό-λῠσις, εως, ἡ, σχοινίον ἢ λωρίον διὰ κύνας θηρευτικούς, Ἡσύχ. (οὗ ἡ ἑρμηνεία ἀσαφής)· ἐντεῦθεν ἐν Ὀππ. Κ. 4. 357, ἀντὶ αὐτόλυγοι κύνες ὁ Schneid. διορθοῖ: αὐτόλυτοι κύνες, εἰς ζεύγη δεδεμένοι.

αὐτομάθεια, ἡ, ἡ ἄνευ διδασκαλίας μάθησις, Πλούτ. 2. 973E: — ὡσαύτως **-μαθία**, ἀμφ. ἐν Φίλωνι 1. 552.

αὐτομᾰθής, ές, ἀφ' ἑαυτοῦ μαθών, αὐτοδίδακτος, Πλούτ. 2. 992A· μ. γεν., τὸν ὀρχησμῶν αὐτομαθῆ Κυβέλης Ἀνθ. Π. 6. 218. — Ἐπίρρ. **-θῶς** Φιλόστρ. 498.

αὐτο-μακαριότης, ητος, ἡ, αὐτὴ ἡ μακαριότης, ἡ ὄντως μακαριότης, Ἰω. Χρυσ. ἐν τῇ π. Τιμ. Ἐπιστ. Ὁμιλ. 4. σ. 325, 31.

αὐτο-μανία, ἡ, καθαρὰ μανία, Ἰω. Χρυσ. εἰς Γέν. Ὁμ. 10, τ.1. σ. 61, 19.

αὐτο-μαρτῠρέω, ἐν Διογ. Λ. 9. 110, διορθωτέον αὐτῷ μαρτυρ-.

αὐτό-μαρτῠς, ῠρος, ὁ, ἡ, αὐτὸς ὁ μάρτυς, ὃ ἐ. αὐτόπτης μάρτυς, Αἰσχύλ. Ἀγ. 989, Κύριλλ. Ἀλ. τ. 5. σ. 440E.

αὐτομάτει ἢ **-τεί**, ἐπίρρ. τοῦ **αὐτόματος**, Νόνν. Δ. 4. 153, Ἰω. Χρυσ. Ὁμιλ. 133, τ. 5. σ. 846.

Αὐτοματία, ἡ, ἡ θεὰ τῆς τύχης, Πλούτ. 2. 816D, 2. 542E.

αὐτοματίζω: μέλλ. -ίσω, πράττω τι αὐτομάτως, προχείρως ἢ ἀλογίστως, Ξεν. Κύρ. 4. 5, 21· εἰσάγω τὴν ἐνέργειαν τῆς τύχης ὡς ὑπάρχουσαν, περὶ τοῦ Ἀναξαγόρου, Σιμπλίκ. εἰς Ἀριστ. Φυσ. σ. 73. 2) ἐπὶ πραγμάτων συμβαινόντων τυχαίως, ἀφ' ἑαυτῶν, Ἱππ. 402. 36· φήμη Διόδ. 16. 92. 3) ἐπὶ φυσικῶν ἐνεργειῶν, ἐνεργῶ ἐξ ἐμαυτοῦ, αὐτομάτως, ὥσπερ αὐτοματιζούσης τῆς φύσεως Ἀριστ. π. Ζ. Γεν. 1. 1, 11.

αὐτοματισμός, ὁ, τὸ ἀφ' ἑαυτοῦ συμβαῖνον, τύχη, Ἱππ. 406, Διον. Ἁλ. 1. 4.

αὐτοματιστής, οῦ, ὁ, ὁ τὰ πάντα ἀποδίδων εἰς τὴν τύχην, Ἐπικούρειος, Ἰω. Μαλαλᾶς σ. 251, 1, κλ.

αὐτοματο-ποιός, ὁ, ὁ κατασκευάζων αὐτόματα· **ἡ αὐτοματοποιητικὴ** ἢ ὀρθότερον **αὐτοματοποιικὴ** (ἐνν. τέχνη), ἡ τέχνη τοῦ αὐτοματοποιοῦ· **τὰ αὐτοματοποιητικά**, πραγματεία περὶ ταύτης τῆς τέχνης, ἴδε Ἥρωνα ἐν Ἀρχ. Μαθημ. σ. 243.

αὐτόμᾰτος, η, ον, Ὅμ. καὶ Ἀττ. ος, ον, Ἡσ. Ἔργ. κ. Ἡμ. 103, Ἀριστ. π. Ζ. Γεν. 3. 11, 14, Ἱστ. Ζ. 10. 6, 43. 1) ἐπὶ προσώπων, ὁ πράττων τι ἐξ οἰκείας βουλήσεως, ἀφ' ἑαυτοῦ, αὐτόματος δὲ οἱ ἦλθε Ἰλ. Β. 408· αὐτ. φοιτῶσι Ἡσ. Ἔργ. κ. Ἡμ. 103· αὐτ. ἥκειν Ἀριστοφ. Πλ. 1190, Θουκ. 6. 91. 2) ἐπὶ ἀψύχων πραγμάτων, αὐτοκίνητος, αὐτενεργός, ἐπὶ τῶν πυλῶν τοῦ Ὀλύμπου, αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ Ἰλ. Ε. 749· ἐπὶ τῶν τριπόδων τοῦ Ἡφαίστου, οἵτινες ἐκινοῦντο ἀφ' ἑαυτῶν διὰ τροχίσκων, τρίποδας γὰρ .. ἔτευχεν ... χρύσια δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν, ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα Σ. 376, προβλ. Πλάτ. Κωμ. ἐν Ἀδήλ. 6· ὅπλα.. αὐτ. φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ Ἡρόδ. 8. 37· αὐτ. κοχλίας, ἀφ' ἑαυτοῦ ἐνεργῶν, Πολύβ. 12. 13, 11· **τὰ αὐτόματα** μηχανήματα ἀφ' ἑαυτῶν κινούμενα, Ἀριστ. π. Ζ. Γεν. 2. 1, 40. 3) ἐπὶ φυσικῶν ἐνεργειῶν, ὁ ποταμὸς αὐτ. ἐπελθών, ἀφ' ἑαυτοῦ, Ἡρόδ. 2. 14· οὕτω καὶ ἐπὶ φυτῶν φυομένων ἀφ' ἑαυτῶν, αὐτ. ἐκ τῆς γῆς γίνεται ὁ αὐτ. 3. 100· αὐτ. φύεσθαι ὁ αὐτ. 2. 94., 8. 138· καὶ δὴ κύτισος αὐτόματος παρὰ Μέδοντος ἔρχεται Κρατῖνος ἐν «Μαλθακοῖς» 1. 8· μεταφ., αὐτόματα ταῦτ' ἀγαθὰ.. πορίζεται Ἀριστοφ. Ἀχ. 978, πρβλ. Κρατῖνον ἐν «Πλούτοις» 6· ἐπὶ φιλοσόφων τινῶν, ἀλλ' αὐτόματοι ἀναφύονται Πλάτ. Θεαίτ. 180C. 4) ἐπὶ γεγονότων συμβαινόντων ἀφ' ἑαυτῶν ἄνευ ἐξωτερικῆς ἐπενεργείας, αὐτόματα δεσμὰ διελύθη Εὐρ. Βάκχ. 347· αὐτόματος βίος, βίος μὴ ἔχων ἀνάγκην ἐξωτερικῆς ὑποστηρίξεως, Πλάτ. Πολιτικ. 271E· αὐτόματος θάνατος, φυσικός, Δημ. 296. 18· κόπος αὐτ., ὁ ἄνευ γνωστῆς αἰτίας, Ἱππ. Ἀφ. 1244· ἀπό τινος αἰτίας αὐτομάτης Πλάτ. Σοφ. 265C· ἄνευ φανερᾶς αἰτίας, τυχαῖος, ἐν ἀντιθέσει πρὸς τὸ ἀπὸ πείρης, Ἡρόδ. 7. 9, 2. II. **αὐτόματον**, τό, ἁπλῆ τύχη, Λυσ. 105. 27· διὰ τὸ αὐτ. Ἀριστ. Φυσ. 2. 4. 1· **τῷ αὐτομάτῳ** ἀντιθέτως πρὸς τὸ **τέχνῃ**, ὁ αὐτ. Μεταφ. 11. 3, 2· — ἀλλὰ συχνότατα ἐν τῇ φράσει, ἀπὸ τοῦ αὐτομάτου ἢ ἀπὸ ταὐτομάτου, ὅμοιον τῷ Λατ. sponte, ἀποθανεῖν

ἀπὸ τοῦ αὐτ. Ἡρόδ. 2. 66, πρβλ. Θουκ. 2. 77, Πλάτ., καὶ συχν. παρ' Ἀριστ.· ἐκ τοῦ αὐτομάτου Ξεν. Ἀν. 1. 3, 13. **III.** Ἐπίρρ. **-τως** = **ἀπὸ ταὐτομάτου**, Ἡρόδ. 2. 180, Ἱππ. π. Ἀγμ. 778, Ἀριστ.: — ὡσαύτως **αὐτοματεὶ** ἢ **-τὶ** (ἃ ἴδε), καὶ **αὐτομάτην** Διόδ. 2. 25.

αὐτομαχεί, ἐπίρρ. τοῦ αὐτομαχέω, Δίων Κ. Ἀποσπ. σ. 161 Mai.

αὐτομᾰχέω, (μάχομαι) μάχομαι ὑπὲρ ἐμαυτοῦ, ὑπερασπίζω τὴν ὑπόθεσίν μου ἐν τῷ δικαστηρίῳ, Λυσ. παρ' Ἁρποκρ., πρβλ. καὶ Σουίδ. ἐν λέξει, ὁ δὲ Ἡσύχ. ἑρμηνεύει: «αὐτομαχεῖν· αὐτοδικεῖν».

Αὐτομέδων, οντος, ὁ, ὁ αὐτὸς ἑαυτὸν κυβερνῶν, ὄνομα τοῦ ἡνιόχου τοῦ Ἀχιλλέως, Ἰλ. — κλητ. ὦ **Αὐτόμεδον**, ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 157.

αὐτο-μέλαθρος, ον, ὁ τῆς αὐτῆς οἰκίας, Νόνν. Δ. 48. 519.

Αὐτο-μέλιννα, ἡ, αὐτὴ ἡ Μέλιννα, ἀπαράλλακτος, Ἀνθ. Π. 6. 353.

αὐτο-μεμφής, ές, ὁ ἑαυτὸν μεμφόμενος, Βυζ.

αὐτομεμψία, ἡ, τὸ ἑαυτὸν μέμφεσθαι, Ἰω. Κλίμ. σ. 294.

αὐτομέριμνος, ον, ὁ περὶ ἑαυτοῦ μεριμνῶν, Ἰω. Κλίμ. 5. 2.

αὐτο-μετοχή, αὐτὴ καθ' ἑαυτὴν ἡ μετοχή, Δ. Ἀρεοπ. π. Θ. Ὀνομ. 5. 5, σ. 225, 226.

αὐτο-μῆκος, τό, αὐτὸ τὸ μῆκος, διάφ. γραφ. ἐν Ἀριστ. Τοπ. 6. 6, 4, Ἰάμβλ.

αὐτομηνί, ἐπίρρ., τὸν αὐτὸν μῆνα, Ἀττικ. παρ' Εὐσ. Εὐαγγ. Πρ. 796D.

αὐτο-μήνῡτος, ον, «ὁ αὐτὸς ἑαυτὸν καταμηνύων» Α. Β. 29. 6.

αὐτο-μήτωρ, ορος, ἡ, αὐτὴ ἡ μήτηρ ἀπαράλλακτος, ἀκριβῶς ὡς ἡ μήτηρ, Σιμωνίδ. Ἰαμβογρ. 7 [8]. 12· — ὁ τύπος **αὐτομήτηρ, ερος** εἶναι ἀντίθετος τῇ ἀναλογίᾳ, Λοβ. Φρύν. 659.

αὐτό-μοιρος, ον, «μονόμοιρος. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ» Ἡσύχ. (Σοφ. Ἀποσπ. 249).

αὐτομολέω, δραπετεύω ἐκ τοῦ στρατοῦ καὶ καταφεύγω εἰς τὸν ἐχθρόν, Ἡρόδ. 8. 82, Ἀριστοφ. Ἱππ. 26, Θουκ. 3. 77, κτλ.· οἱ δὲ αὐτομόλεον πρὸς τοὺς Πέρσας Ἡρόδ. 1. 127, κτλ.· ἐς αὐτοὺς ὁ αὐτ. 3. 154, κ. ἀλλ.· ἐς Ἀθήνας ἐκ Περσέων ὁ αὐτ. 3. 160· παρά τινος Ξεν. Ἀν. 1. 7, 13· αὐτομολήσας οἴχεσθαι Ἀνδοκ. 7. 4. **II.** μεταφ., αὐτ. ἐν τῇ πολιτείᾳ, μεθίστασθαι ἐκ τῆς μιᾶς εἰς τὴν ἄλλην μερίδα, Αἰσχίν. 64. 22· αὐτομολεῖν πρὸς τὴν ἐλευθερίαν Διόδ. 2. 26.

αὐτομόλησις, εως, ἡ, = **αὐτομολία**, Τζέτζ. Μεθ' Ὅμ. 533, 573 ἀποδοκιμάζεται ὑπὸ Θ. Μαγίστρου 128.

αὐτομολητέον, ῥηματ. ἐπίθ., δεῖ αὐτομολεῖν, Γεωργ. Παχυμ. Μιχ. Παλ. 1. σ. 12D.

αὐτομολία, ἡ, τὸ αὐτομολεῖν, Θουκ. 7. 13, κτλ.

αὐτό-μολος, ον, ὁ ἀφ' ἑαυτοῦ, ἄκλητος ἐρχόμενος, κλητοί τ' αὐτόμολοί τε Ὀππ. Ἁλ. 3. 360, Ἀνθ. Π. 5. 22· ἀλλὰ πρὸ πάντων, **2)** ὡς οὐσιαστ., ὁ αὐτομολῶν εἰς τὸν ἐχθρόν, Ἡρόδ. 3. 156, κ. ἀλλ., Θουκ. 4. 118, κ. ἀλλ.· παρά τινος Ξεν. Ἀν. 1. 7, 2· γυνὴ αὐτόμολος Ἡρόδ. 9. 76. — Ἐπίρρ. **αὐτομόλως**, «προδοτικῶς, Σοφοκλῆς Φαίδρᾳ» Ἡσύχ. (Σοφ. Ἀποσπ. 617)· — καὶ **αὐτομολεί**, ἐπίρρ., Φωτ. Ἀμφιλοχ. σ. 343, ἔκδ. Σ. Οἰκ.

αὐτομόλπως, «αὐτόμολπα, ὁμοίως ἐκείνοις» Ἡσύχ.

αὐτό-μορφος, ον, αὐτοσχημάτιστος, φυσικός, Εὐρ. Ἀποσπ. 124.

αὐτό-νεκρος, ον, ὁ ἐντελῶς νεκρός, τοῦτ' αὐτὸ πτῶμα, Ἀλκίφρ. 3. 7.

αὐτό-νεως, ων, σὺν αὐτῇ τῇ νηΐ, Γεωργ. Παχυμ. Μιχ. Παλ. 5. σ. 269D.

αὐτο-νόητος, ον, ὁ ἀφ' ἑαυτοῦ νοούμενος, ἀφ' ἑαυτοῦ δῆλος, σαφής, εὐνόητος, Τζέτζ. ἐν Ἀν. Ὀξ. τ. 4. σ. 52, 23.

αὐτονομέομαι, ἀποθ. μετὰ παθ. ἀόρ. **-ήθην** Στράβ. 545: — εἶμαι αὐτόνομος, ζῶ κατὰ τοὺς ἰδίους μου νόμους, εἶμαι ἀνεξάρτητος, Θουκ. 1. 144, κτλ., Δημ. 41. 16. Τὸ ἐνεργ. ἐν Ῥήτορσι (Walz) 1. 587.

αὐτονομία, ἡ, ἐπὶ πολιτείας, τὸ αὐτονομεῖσθαι, ἀνεξαρτησία, Θουκ. 3. 46, Ξεν. Ἑλλ. 5. 1, 36, Συλλ. Ἐπιγρ. 2845.

αὐτό-νομος, ον, ὁ αὐτονομούμενος, ἀνεξάρτητος, ἐν ἀντιθέσει πρὸς τὸ **τυραννευόμενος**, ἐπὶ προσώπων καὶ πόλεων, Ἡρόδ. 1. 96., 8. 140, 1, καὶ συχν. παρὰ Θουκ., π. χ. αὐτ. οἰκεῖν 2. 63· ἀφιέναι αὐτ. τινα 1. 139· αὐτ. ποιεῖν τινα 5. 33· προσέτι, αὐτ. ἀπό τινος Ξεν. Ἑλλ. 5. 1, 36· ἡ πόλις .. ἐλευθέρα καὶ αὐτ. Συλλ. Ἐπιγρ. 340, κ. ἀλλ. **2)** καθόλου, κατ' ἰδίαν ἐλευθέραν θέλησιν, ἀλλ' αὐτόνομος, ζῶσα μόνη δὴ θνητῶν Ἀΐδην καταβήσει Σοφ. Ἀντ. 821· πρβλ. Ξεν. Λακ. 3, 1. **3)** ἐπὶ θηρίων, ὁ ζῶν καὶ περιφερόμενος ἐν τοῖς δρυμοῖς καὶ τοῖς ὄρεσιν ἐλευθέρως, Ἀνθ. Π. 7. 8. — Ἐπίρρ. **-μως** Φωτ. Βιβλ. σ. 205. 31.

αὐτό-νοος, ον, συνῃρ. **-νους, ουν**, ὁ ἰδίαν ἔχων θέλησιν, ἰσχυρογνώμων, ἐπίμονος, αὐτόνῳ γνώμᾳ Αἰσχύλ. Πρ. 543, κατὰ Δινδ. ἀντὶ ἰδίᾳ γνώμᾳ, ὅπερ παραβιάζει τὸ μέτρον. **2)** ἐπὶ τῶν πλοίων τῶν Φαιάκων, ἅπερ καθ' Ὅμηρον εἶχον νοημοσύνην τινά, Εὐστ. 1153. 32, ὑπονοουμένης πως καὶ τῆς νύμφης Αὐτονόης.

αὐτό-νους, ὁ καθαρὸς νοῦς, διαυγὴς διάνοια, Πλωτῖν. 3. 2, 16, Εὐσ. Εὐαγγ. Πρ. 327A.

αὐτο-νυκτί, ἐπίρρ. = τῷ ἑπομ., Ἰωσὴπ. Ἀρχ. Ἰ. 17. 9, 5.

αὐτο-νῠχὶ [ῐ], καὶ **-εί**, ἐπίρρ. (νὺξ) τὴν αὐτὴν ἐκείνην νύκτα, Ἰλ. Θ. 197· κατὰ τὴν αὐτὴν νύκτα, Ἄρατ. 618. **II.** **αὐτονυχὶ** (ὄνυξ), «αὐτοῖς ὄνυξι» Ἐτυμ. Μ. 173. 57.

αὐτο-νύχιος, ον, νυκτερινός, Ἡσύχ. ἐν λέξει **ἔννυχος**.

αὐτονῠχίς, καὶ **αὐτονῠχηδίς**, = **αὐτονυχί**, Θεόγνωστ. σ. 163. 17 (Β. Α. σ. 1319).

αὐτό-ξυλος, ον, ἐξ ἁπλοῦ ἀκατεργάστου ξύλου, ἔκπωμα Σοφ. Φ. 35, πρβλ. Ἀνθ. Πλαν. 4. 235, Στράβ. 502.

αὐτο-ολότης, ητος, ἡ, αὐτὴ ἡ ὁλότης, ἀπόλυτος ὁλότης, Πρόκλ. Θεολ. 106.

αὐτο-ομοιότης, ητος, ἡ, αὐτὴ ἡ ὁμοιότης, Διον. Ἀρεοπ.

αὐτο-ουσία, ἡ, ἀφῃρημένη, ἰδεώδης οὐσία, Πλωτῖν. 6. 8, 12· — ἐντεῦθεν **-ούσιος, ον**, Ἐπιφαν.· **αὐτο-υσίωσις**, ἡ, Διον. Ἀρεοπ.

αὐτο-πᾰγής, ές, (πήγνυμι) αὐτοποίητος, αὐτόκτιστος, Ἐφόρ. Ἀποσπ. 108· αὐτοπαγεῖς θαλάμαι Ἀνθ. Π. 9. 404· «ὕδωρ αὐτοπαγές: τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς· ἢ τὸ αὐτομάτας πηγὰς ἔχον» Φωτ. Λέξ. Συναγ. σ. 615. 15, ἔκδ. Πόρσ.

αὐτο-πάγητος [ᾰ], **ον**, ἀντὶ **αὐτοποίητος**, ὡς γράφεται νῦν, Σώφρων παρὰ Πολυδ. Ι', 107.

αὐτο-πάθεια, ἡ, ἐξ αὐτοπαθείας, ἐξ ἰδίας πείρας, Πολύβ. 3. 108, 2· αὐτοῦ λέγοντος ἐκείνου τὰ ἑαυτοῦ μετὰ τῆς ἀξιώσεως, ἧς εἶχε τὴν αὐτοπάθειαν Διον. Ἁλ. π. Δημοσθ. 1023. **2)** παρὰ γραμμ., ἐπὶ λέξεων αὐτοπαθῶν, κατ' ἀντίθεσιν πρὸς τὰς μεταβατ., Ἀπολλών. π. Συντ. 147.

αὐτο-πᾰθής, ές, αὐτὸς λαβὼν πεῖραν πράγματός τινος. — Ἐπίρρ. **-θῶς**, ἐξ αὐτοπαθείας, ἐξ ἰδίας πείρας, Πολύβ. 3. 12, 1, κτλ. **II.** παρὰ γραμμ., αὐτοπαθῆ εἶναι ὀνόματα, ἀντωνυμίαι καὶ ῥήματα, ἅτινα ἀντανακλῶσι τὴν ἐνέργειαν εἰς ἑαυτά, κατ' ἀντίθεσιν πρὸς τὰ ἀλλοπαθῆ ἢ μεταβατικά, Ἀπολλών. π. Ἀντων. 56A, Bachm. Ἀνέκδ. 2. 302.

αὐτό-παις, -παιδος, ὁ, ἡ, αὐτὸς ὁ παῖς, τῷ Διὸς αὐτόπαιδι, «γνησίῳ παιδί» (Σχόλ.), Σοφ. Τρ. 826. Καθ' Ἡσύχ. καὶ Α. Β. (467.15): «αὐτόπαιδα· αὐτὸν τρόπῳ τινὶ παῖδα ὄντα».

αὐτο-πάμων, ον, (πέπᾱμαι) ὁ μόνος κληρονόμος, Ἡσύχ. (χειρόγρ. **αὐτόπομα**).

αὐτο-παράκλητος, ον, αὐθόρμητος, ὁ ἄνευ παρακλήσεως ποιῶν τι, Ἰω. Χρυσ. Ἐπιστ. 151.

αὐτο-πάρακτος, ον, αὐτὸς ἑαυτὸν παραγαγών, Ψευδ-Ἰουστῖν. 1432B, 1444A.

αὐτοπαραξία, ἡ, οὐσ. τοῦ **αὐτοπάρακτος**, Ψευδ-Ἰουστῖν. 1441C.

αὐτο-παράχρηστος, αὐτὸς καθ' ἑαυτὸν ἄχρηστος, Φωτ. Βιβλ. σ. 18. 9.

αὐτο-πάρθενος, ἡ, ἀληθῶς παρθένος, Εὐσεβ. Ἐκκλ. Ἱστ. 8. 5.

αὐτο-πάτωρ, ορος, ὁ, ἡ, αὐτὸς ἀφ' ἑαυτοῦ γενόμενος, φύσις Ὀρφ. Ὕμν. 9. 10.

αὐτό-παστοι πύλαι· «παστάδας ἔχουσαι, ποικίλαι» Ἡσύχ.

αὐτο-πατήρ, ὡς ἀληθὴς πατήρ, Γρ. Νύσσ. τ. 3. 316C, ἴσως γραπτέον, **αὐτοπάτωρ**.

αὐτό-πειρος, ον, ὁ ἐξ ἰδίας πείρας μαθών τι, Δαμασκ. ἐν Φωτ. Βιβλ. σ. 344. 20. — Ἐπίρρ. **-ρως** Νικητ. Χρον. 117A.

αὐτο-περίγραφος, ον, ὑφ' ἑαυτοῦ περιγραφόμενος, περιοριζόμενος, Δαμασκ. π. Ἀρχ. σ. 247.

αὐτο-πηγή, ἡ, αὐτὴ ἡ πηγή, καλῶν Ἰω. Χρυσ. τ. 2. 608. 14.

αὐτο-πήμων, ον, ἀφ' ἑαυτοῦ τὰ κακὰ ἔχων, δαΐκτὴρ γόος αὐτόστονος, αὐτοπήμων Αἰσχύλ. Θήβ. 916.

αὐτο-πικρία, ἡ, αὐτὴ ἡ πικρία, Ἰω. Χρυσ. τ. 3. σ. 840. 32.

αὐτό-πῑπτον, τό, τὸ ἀφ' ἑαυτοῦ πῖπτον, Coteler. I. 29A (Βασίλ.)

αὐτό-πιστος, ον, αὐτὸς καθ' ἑαυτὸν πιστός, ἀξιόπιστος, Οἰνόμ. παρ' Εὐσ. ἐν Εὐαγγ. Πρ. 228D, Ὀλυμπιόδ. εἰς Πλάτ. Φίληβ. 129· — οὐσιαστ. **αὐτοπιστία**, ἡ, τὸ ἀφ' ἑαυτοῦ ἀξιόπιστον, Θεοδ. Βαλσαμ. Ἑλλ. Πατρολ. Migne τ. 119 σ. 1192, Λιβάν. 11, σ. 363D, ἔνθα ὁ Ρείσκιος μετέβαλε τὴν λέξιν εἰς **ἀτοπίαν**.

αὐτό-πλαστος, ον, ὁ ἑαυτὸν πλάσας, πιθ. γραφ. ἐν Γρηγ. Ναζ. (τ. 2 σ. 294) ἀντὶ **αὐτοπλάστης**.

αὐτό-πλεκτος, ον, ἀφ' ἑαυτοῦ πεπλεγμένος, Ὀππ. Ἁλ. 4. 449.

αὐτό-πληθος, τό, αὐτὸ τὸ πλῆθος, Πρόκλ. Θεολ. Πλάτ. 3. 21.

αὐτο-πλήρης, ες, ἐντελῶς πλήρης, Θεοφύλ. Βουλγ. τ. 4. σ. 159.

αὐτο-ποδητί, Ἐπίρρ. = τῷ ἑπομ. Λουκ. Λεξιφ. 2.

αὐτο-ποδί, ἐπίρρ., πεζῇ, ὁ δὲ Ἀντώνιος αὐτοποδὶ αὐτῇ μετὰ τῶν εὐνούχων ἠκολούθει Δ. Κάσσ. 50. 5.

αὐτο-ποδία, ἡ, μόνον κατὰ δοτ. **αὐτοποδίᾳ** = **αὐτοποδὶ** Δίων Κ. 44. 8.

αὐτό-ποδον (κῶδ. **αὐτόπεδον**) καὶ **αὐτοποδητί**· «τὸ ἐκ ποδὸς βαδίζειν» Ἡσύχ.: — «αὐτόπεδον: τὸ πεζῇ ὁδεύειν» Α. Β. 467. 17.

αὐτο-ποιητικός, ή, όν, ἀντίθετον τῷ **εἰδωλοποιϊκός**, ποιῶν οὐχὶ εἰκόνα πράγματός τινος ἀλλ' αὐτὸ τὸ πρᾶγμα, Πλάτ. Σοφ. 266A.

αὐτο-ποίητος, ον, ὁ ὑφ' ἑαυτοῦ ποιηθείς, τοῦ αὐτοπαράκτου τὸ αὐτογέννητον καὶ αὐτοποίητον οὐδὲν διαφέρει

Ἰουστῖν. Μάρτ. 526Δ, = **αὐτοπάγητος** Σώφρων. παρὰ Πολυδ. Ϛ', 60, κατὰ δὲ Ἡσύχ. «αὐτοποίητον· εὐτελές».

αὐτόποιος, ον, ὁ ἑαυτὸν ποιῶν, ὁ ἑαυτὸν παράγων, αὐτοφυής, περὶ ἐλαίας, ἀλλὰ κυρίως περὶ τῆς ἐν τῇ Ἀκροπόλει τῶν Ἀθηνῶν ἱερᾶς ἐλαίας, ἥτις τὴν δευτέραν ἡμέραν ἀπὸ τῆς ἐμπρήσεως ταύτης ὑπὸ τῶν Περσῶν ἐξέφυσε βλαστὸν πηχυαῖον, φύτευμ' ἀχείρωτον αὐτόποιον Σοφ. Ο. Κ. 698. Περὶ τοῦ τονισμοῦ τῆς λέξεως ὁ Chandler (§ 457) φρονεῖ ὅτι δὲν ἔχει ὑγιῶς, διότι πᾶσαι αἱ λέξεις αἱ εἰς -ποιος λήγουσαι καὶ οὖσαι σύνθετοι ἐκ τοῦ ῥήματος ποιῶ ὀξύνονται, διὸ καὶ ὁ Jebb εὖ ποιῶν ἐτόνισε τὴν τελευταίαν συλλαβὴν γράψας αὐτοποιόν. Ἴδε σημ. Jebb ἐν τόπῳ.

αὐτοπόκιστον· «μὴ κεχαρμένον. οἱ δὲ εὐτελὲς ἱμάτιον» Ἡσύχ.

αὐτό-ποκος, ον, ὁ ἐξ ἁπλοῦ ἐρίου κατεσκευασμένος, «ἣν συρίαν οἱ πολλοὶ ταύτην αὐτόποκον ἱμάτιον οἱ κωμικοὶ» Πολυδ. Ζ', 61. (Κωμ. Ἀνώνυμ. 322).

αὐτό-πολις, πόλις, ἐλευθέρα, ἀνεξάρτητος πόλις, Θουκ. 5. 79.

αὐτο-πολίτης, ου, ὁ, πολίτης αὐτονόμου πόλεως, Ξεν. Ἑλλ. 5. 2, 14 (κατὰ Οὐαλέσιον ἀντὶ αὐτοὶ πολῖται).

αὐτο-πόνητος, ον, ὁ ἀφ' ἑαυτοῦ πεπονημένος, ῥεῦμα μελισσῶν Ἀνθ. Π. 9. 404.

αὐτό-πονος, ον, = τῷ προηγ., Νικ. Θ. 23.

αὐτό-πορος, ον, αὐτοκίνητος, Νόνν. Δ. 1. 308., 6. 370.

αὐτο-πόρφυρος, ον, ὁ ἔχων χρῶμα γνησίας πορφύρας, Φιλῆς π. Φυτ. σ. 136 Wernsd.

αὐτό-πους, ὁ, ἡ, -πουν, τό, πεζῇ, ἰδίοις ποσί, Λουκ. Τίμ. 24· γραφὴ προτεινομένη ὑπὸ τοῦ Δινδ. εἰς Αἰσχύλ. Πέρσ. 565, ἀντὶ αὐτὸν ὡς.

αὐτο-πρᾱγέω, διάγω αὐτογνωμόνως, ἀνεξαρτήτως, Στράβ. 355.

αὐτοπρᾱγία, ἡ, ἐλευθέρα, ἀνεξάρτητος ἐνέργεια, Πλάτ. Ὅροι 411Ε, Χρύσιππ. παρὰ Πλουτ. 2. 1043Β· ἐξουσία αὐτοπραγίας ἡ ἠθικὴ ἐλευθερία τῶν Στωϊκῶν (potestas vivendi at velis, Κικ. Parad. 5. 1), Διογ. Λ. 7. 121.

αὐτο-πρᾱγματεύτως, ἁπλῶς, ἄνευ τέχνης, αὐτοφυῶς καὶ αὐτοπρ. λέγεσθαι Διον. Ἀλ. Ρητ. σ. 174. 41, ἔκδ. Huds., ἀλλ' ἴσως διορθωτέον ἀπραγματεύτως κατὰ Ρείσκιον.

αὐτό-πρακτος, ον, ὁ ἑκουσίως πραττόμενος, Μελέτ. ἐν Ἀνεκδ. Ὀξ. τ. 3. σ. 156.

αὐτο-πραότης, ητος, ἡ, αὐτὴ ἡ πραότης, ἀληθὴς πραότης, Εὐστ. Πονημάτ. 320. 72.

αὐτό-πρεμνος, ον, σὺν αὐτῇ τῇ ῥίζῃ, αὐτόρριζος, ἐπὶ δένδρων, τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται Σοφ. Ἀντ. 714· πρβλ. Ἀντιφάν. ἐν Ἀδήλ. 10· αὐτοπρέμνοις τοῖς λόγοισιν Ἀριστοφ. Βάτρ. 903· ὁλόκληρος, Αἰσχύλ. Εὐμ. 401.

αὐτο-προαίρετος, ον, ὁ τῇ ἰδίᾳ προαιρέσει γινόμενος, Bl. Ὁμ. 105. **II.** ἐνεργ., ὁ ἰδίᾳ προαιρέσει ἐνεργῶν, Ἀριστ. Φυτ. 1. 2, 17, Ῥήτορες (Walz) τ. 4. σ. 27. 3.—Ἐπίρ. **-τως** Ἐκκλ.

αὐτο-πρόβλητος, ον, ὁ ὑφ' ἑαυτοῦ διορισθείς, Εὐστ. Πονημάτ. 127. 93.

αὐτο-προθύμως, ἐπίρρ. ἐξ οἰκείας προθυμίας, λίαν προθύμως, Ἐτυμ. Μ. 173. 8.

αὐτο-πρόνοια, ἡ, αὐτὴ ἡ πρόνοια, Νεμέσ. 350.

αὐτο-προσωπέω, ὁμιλῶ ἢ πράττω τι αὐτοπροσώπως, Κλήμ. Ἀλ. 152.

αὐτο-πρόσωπος, ον, ὁ ἄνευ προσωπείου, ἐπὶ ἠθοποιοῦ, Ἀθήν. 452F· αὐτ. φανῆναι Λουκ. ὑπερ. τ. εἰκ. 3· αὐτ. ὁρᾶν τὸ κάλλος ὁ αὐτ. Τίμ. 27: καὶ τὸν μὲν Δᾶμιν αὐτοπρόσωπον καὶ δι' αὐτοῦ λέγειν, αὐτοπροσώπως, οὐχὶ δι' ἄλλου, ὁ αὐτ. Ζεὺς τραγ. 29· τὸ αὐτοπρόσωπον (ἐνν. σύγγραμμα), σύγγραμμα ἐν ᾧ αὐτὸς ὁ συγγραφεὺς ὁμιλεῖ κατ' ἀντίθεσιν πρὸς τὰ διαλογικὰ συγγράμματα· πρβλ. **αὐτοδιήγητος.** — Ἐπίρρ., αὐτοπροσώπως λέγειν Κλήμ. Ἀλ. 543.

αὐτό-πρυμνος, ον, ἐξ αὐτῶν τῶν θεμελίων, Χρησμ. Σιβυλλ. 1. 186.

αὐτό-πτερος, ον, σὺν ταῖς ἰδίαις πτέρυξι, Ἀριστείδ. 1. 15.

αὐτ-οπτέω, ἰδίοις ὀφθαλμοῖς ὁρῶ, Παυσ. 4. 31, 5, Ἡλιόδ. 3. 1.

αὐτ-όπτης, ου, ὁ, ὁ ἰδίοις ὄμμασι βλέπων, Ἡρόδ. 2. 29., 3. 115, κ. ἀλλ., Πλάτ. Νόμ. 900Α, Εὐάγγελος ἐν «Ἀνακαλυπτομένῃ» 1. 4. — εὕρηται καὶ θηλ. **αὐτόπτις** ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις, ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 196.

αὐτοπτικός, ή, όν, ὁ τοῦ αὐτόπτου, πίστις αὐτ. Σκύμν. 128. **2)** ὁ τῆς αὐτοψίας, Ἰάμβλ. 73. 14., 82. 16.

αὐτ-οπτος, ον, ὁ ἀφ' ἑαυτοῦ ἀποκαλυπτόμενος, φανερὸς γινόμενος, Ἰουλιαν. 221Α·—«ἐπ' αὐτόπτῳ» Σουΐδ. ἐν ἐπ' αὐτοφώρῳ. —Ἐπίρρ. **τως** Ἐκκλ.

αὐτο-πύθιος τρίπους, ὁ, αὐτὸς ὁ τρίπους τῆς Πυθίας, Ψελλ. 144.

αὐτο-πῦρ, τό, αὐτὸ τὸ πῦρ, αὐτόχρημα πῦρ, Ἑρμ. παρὰ Στοβ. 137. 35.

αὐτό-πῡρος, ὁ, ὁ πεποιημένος ἐξ ἀκοσκινίστου σιτίνου ἀλεύρου, ἄρτος Ἄλεξ. ἐν «Κυπρίῳ» 2· ὁ μέσος τοῦ τε καθαροῦ καὶ τοῦ πιτυρίτου καλουμένου, ὃν ἔνιοι αὐτόπυρον ὀνομάζουσι Γαλην. π. Γλαῦκ.

αὐτο-πῡρίτης [ῑ], ου, ὁ, Φρύν. Κωμ. ἐν «Ποαστρίαις» 1, Ἱππ. 542, 56., 544. 7.

αὐτο-πύρσευτος, ον, λαμπρὸς ὡς ἀληθὴς πυρσός, Φιλῆς.

αὐτοπωλέω, εἰμὶ αὐτοπώλης, ἔμπορος, κάπηλος. Μόνον ὁ ἐνεστώς. Ἰσοκρ 2.1, κατὰ διόρθωσιν τοῦ Naber ἀντὶ τοῦ αὐτὰ πωλοῦντες.

αὐτο-πώλης, ου, ὁ, «ὁ ἐν τῇ ἰδίᾳ χώρᾳ πωλῶν τὴν ἑαυτοῦ πρόσοδον». καθάπερ ἡ τῶν καπήλων τέχνη τῆς τῶν αὐτοπωλῶν διώρισται τέχνης Πλάτ. Πολιτικ. 260C· αὐτ. περί τι ὁ αὐτ. Σοφ. 231D· πρβλ. **μεταβολεύς.**

αὐτοπωλικός, ή, όν, = τῷ προηγ., **ἡ αὐτοπωλική** (ἐνν. τέχνη), τὸ ἐπάγγελμα τοῦ **αὐτοπώλου,** ἐν ἀντιθέσει πρὸς τὸ **ἐμπορικὴ** καὶ **καπηλική,** Πλάτ. Σοφ. 223D, πρβλ. 224Ε.

αὐτὸρ = αὐτός, Ἐπιγρ. Ὀλυμπ., Arch. Ztg. 1876 σ. 183.

αὐτο-ρέγμων, ον, (ῥέζω) «αὐτορέγμων· ἑαυτὸν ἐργαζόμενος» Ἡσύχ.·— «αὐτορέγμονος πότμου· ὅσον ἑαυτὸν ἔρρεξε καὶ κατέθυσε. ἢ .. παρὰ τὸ ὀρέγειν τὴν χεῖρα» ὁ αὐτ. (Αἰσχύλ. Ἀποσπ. 117).

αὐτο-ρήτωρ, ορος, ὁ, ὁ αὐτὸς ἀφ' ἑαυτοῦ γενόμενος ῥήτωρ, Εὐστ. 1301. 32.

αὐτ-όροφος, ον, ἀφ' ἑαυτοῦ ἐστεγασμένος, ὁ ἀφ' ἑαυτοῦ ἔχων ὀροφήν, πέτραι Ὀππ. Ἁλ. 1. 22· σκηναὶ Διον. Ἀλ. 1. 79· αὐτόροφος στέγη, φυσικὴ στέγη, Αἰλ. π. Ζ. 16. 17.

αὐτόρ-ρεκτος, ον, ὁ ἀφ' ἑαυτοῦ γινόμενος, Ὀππ. Κ. 2. 567, Ἁλ. 1. 763.

αὐτόρ-ριζος, ον, σὺν αὐτῇ τῇ ῥίζῃ, Διόδ. 4. 12· ποιητ. αὐτόριζος Βαβρ. 36. 1. **II.** ἀφ' ἑαυτοῦ ῥιζωθείς, ἀφ' ἑαυτοῦ θεμελιωθείς, ἑστία Εὐρ. Ῥῆσ. 287.

αὐτορ-ριφής, ές, (ῥίπτω) ὁ ἀφ' ἑαυτοῦ ῥιφθείς, Σχόλ. εἰς Εὐρ. Φοιν. 640.

αὐτόρ-ρῡτος, ον, (ῥέω) ὁ ἀφ' ἑαυτοῦ ῥέων, Ἀνθ. Π. 9. 669, Γαλην. 13. 626· ποιητ. αὐτόρυτος Πινδ. Π. 12. 30.

αὐτός, αὐτή, αὐτό, ὁριστικὴ ἢ κάλλιον διασταλτικὴ ἀντωνυμία, Λατ. ipse:— ἐν ταῖς πλαγίαις πτώσεσιν ἐν χρήσει ἁπλῶς πρὸς δήλωσιν τοῦ γ' προσ. τῆς προσωπικῆς ἀντωνυμίας: — μετὰ τοῦ ἄρθρου, **ὁ αὐτός, ἡ αὐτή, τὸ αὐτό·** (ὡσαύτως **ταὐτόν**), κτλ., ὁ ἴδιος.

I. ἴδιος, ἐγὼ ὁ ἴδιος, σὺ ὁ ἴδιος, κτλ. κατὰ τὸ πρόσωπον τοῦ ῥήματος· συχνάκις δὲ συνδυάζεται καὶ μετὰ τοῦ **ἐγώ, σύ,** κτλ., ὡς αὐτὸς ἐγώ, ἐγὼ ὁ ἴδιος, Ὅμ.· ἴδε κατωτ.: **1)** αὐτὸς ὁ ἴδιος, ὁ ὄντως ἄνθρωπος, δηλ. ἡ ψυχὴ οὐχὶ τὸ σῶμα, ἐν Ὀδ. Λ. 602· ἀλλ' ὡσαύτως τἀνάπαλιν τὸ σῶμα οὐχὶ ἡ ψυχή, ἐν Ἰλ. Α. 4· ἢ ὁ ἴδιος, ἐν ἀντιθέσει πρὸς ἄλλους, ὑποδεεστέρους ὡς ὁ βασιλεὺς πρὸς τοὺς ἑαυτοῦ ὑπηκόους, Ζ. 18., Θ. 4· ὁ πατὴρ πρὸς τὰ τέκνα αὐτοῦ, Β. 317· ὁ ἀνὴρ πρὸς τὴν ἑαυτοῦ γυναῖκα, Ὀδ. Ξ. 265· ὁ πολεμιστὴς πρὸς τοὺς ἑαυτοῦ ἵππους, Ἰλ. Β. 466· ὁ ποιμὴν πρὸς τὸ ἑαυτοῦ ποίμνιον, Ὀδ. Ι. 167, πρβλ. Ἰλ. Α. 51· ὁ λαὸς πρὸς τοὺς ἑαυτοῦ συμμάχους, Λ. 220· οἱ ναῦται πρὸς τὰ ἑαυτῶν πλοῖα, Η. 338· ἐν γένει τὸ ὅλον πρὸς τὰ ἑαυτοῦ μέρη, Η. 474· ἐντεῦθεν αὐτός τε καὶ .., ἐπὶ πρωτεύοντος προσώπου μετὰ τῶν ἑαυτοῦ ὀπαδῶν, Ξεν. Κύρ. 1. 3, 1, κτλ.· ἐντεῦθεν καθίσταται ἐμφατικὴ ἄνευ ἀντιθέσεως καὶ κεῖται ἀπολ. ἀντὶ τοῦ «διδάσκαλος» ἢ «δεσπότης» (Ipse, Κάτουλλ. 3. 7), οἷον τὸ περιώνυμον τῶν Πυθαγορείων, Αὐτὸς ἔφα, αὐτὸς οὗτος, δηλ. ὁ διδάσκαλος, Λατ. Ipse dixit· οὕτω, τίς οὗτος; — Αὐτός—δηλ. Σωκράτης, Ἀριστοφ. Νεφ. 219· ἀνοιγέτω τις δώματ'. Αὐτὸς ἔρχεται, ὁ δεσπότης, ὁ αὐτ. Ἀποσπ. 261· αὐτὸς ἀΰτεῖ Θεόκρ. 24. 50 ἐπὶ παρομοίας ἐννοίας κεῖται καὶ τὸ οὐδέτ., αὐτὸ δείξει, αὐτὸ σημανεῖ, res ipsa declarabit, τὸ ἀποτέλεσμα θὰ δείξῃ, Valck. Φοίν. 626, Heind. Πλάτ. Ἱππ. Μείζ. 288Β· πλῆρες, τοὔργον τάχ' αὐτὸ δείξει Ἀριστοφ. Λυσ. 375· διπλασιαζόμενον, αὐτός θ' ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν Αἰσχύλ. Εὐμ. 798, πρβλ. Ἀποσπ. 266·— οὕτως ἐπὶ πραγμάτων, ὑπὸ λόφον αὐτόν, Λατ. sub cristam ipsam, δηλ. ἀκριβῶς ὑπὸ τὸν λόφον, Ἰλ. Ν. 615· αὐτὸ τὸ περίορθρον, περὶ αὐτὰ τὰ χαράγματα, Θουκ. 2. 3·— ὡσαύτως ὡς τὸ Λατ. vel, adeo, ἔτι, ἀκόμη, οὔ μοι μέλει ἄλγος οὔτ' αὐτῆς Ἑκάβης Ἰλ. Ζ. 451. — Ἐπὶ τούτων τῶν σημασιῶν ἡ **αὐτὸς** ἐν τῷ Ἀττικ. πεζῷ λόγῳ ἢ προηγεῖται τοῦ τε ἄρθρου καὶ τοῦ οὐσιαστικοῦ, ἢ ἕπεται αὐτοῖς ἀμφοτέροις, π. χ. αὐτὸς ὁ υἱὸς ἢ ὁ υἱὸς αὐτός. Τὸ ἄρθρον δύναται νὰ παραλειφθῇ μόνον ἐπὶ κυρίων ὀνομάτων ἢ οὐσιαστικῶν δηλούντων ἄτομα, π. χ. αὐτὸς Μένων Krüg. Ξεν. Ἀν. 1. 2, 20· αὐτὸς βασιλεύς, αὐτὸς πατήρ, κτλ. **2)** ἀφ' ἑαυτοῦ, ἐξ ἰδίας θελήσεως, Λατ. sponte, ὡς τὸ **αὐτόματος·** ἀλλά τις αὐτὸς ἴτω, ἂς ὑπάγῃ ἕκαστος μόνος του, ὁ ἴδιος, Ἰλ. Ρ. 254· σπεύδοντα καὶ αὐτὸν ὀτρύνεις Θ. 293· καταπαύσομεν· οἱ δὲ καὶ αὐτοὶ παυέσθων Ὀδ. Β. 168· ἥξει γὰρ αὐτὰ Σοφ. Ο. Τ. 341. **3)** καθ' ἑαυτόν, = μόνος· αὐτός περ ἐών, καί περ μόνος, Ἰλ. Θ. 99· ἀνακομισθῆναι αὐτὸν ἐς Φάληρον, μόνον, Ἡρόδ. 5. 85· αὐτοὶ γάρ ἐσμεν, εἴμεθα μόνοι, «μεταξύ μας» «'μεῖς καὶ 'μεῖς», ξένοι δὲν ὑπάρχουν, Ἀριστοφ. Ἀχ. 504, πρβλ. Θεσμ. 472, Πλάτ. Παρμ. 137Β· αὐτοῖς τοῖς ἀνδράσι .., ἢ καὶ τοῖς ἄλλοις Ξεν. Ἀν. 2. 3, 7· — ἐνίοτε ἐπιτείνεται, αὐτὸς κτήσατο οἶος, ὁ ἴδιος, μόνος του, Ὀδ. Ξ. 450· αὐτὸς μόνος, ἴδε **μόνος** II· αὐτὸς καθ' ἑαυτόν, ἴδε **ἑαυτοῦ.** **4)** ὁ Πλάτων μετεχειρίζετο τὸ **αὐτὸς** ὅπως δηλώσῃ

πρᾶγμά τι αὐτὸ καθ' ἑαυτὸ ἢ ἐν ἑαυτῷ, δηλ. τὴν ἀφῃρημένην αὐτοῦ ἔννοιαν, τὸ δίκαιον αὐτὸ Φαίδων 65D· αὐτὸ τὸ ἓν Παρμ. 143A, κ. ἀλλ.· πρβλ. Ἀριστ. Μεταφ. 2. 2, 22. Τὸ οὐδ. **αὐτὸ** εἶναι συχνὸν ἐπὶ ταύτης τῆς ἐννοίας, συναπτόμενον πρὸς ὀνόματα καὶ τῶν τριῶν γενῶν, οὐκ αὐτὸ δικαιοσύνην ἐπαινοῦντες, ἀλλὰ τὰς ἀπ' αὐτῆς εὐδοκιμήσεις Πλάτ. Πολ. 363A, ἔνθα ἴδε πλείονα παρὰ τῷ Stallb.· πληρέστερον, εἰ αὐτὸ τοῦτο πατέρα ἠρώτων, ἆρα ὁ πατήρ ἐστι πατήρ τινος ἢ οὔ; ὁ αὐτ. Συμπ. 199D· ἀδελφός, αὐτὸ τοῦθ' ὅπερ ἔστιν, ἡ ἰδέα, τὸ ἀφῃρημένον, ἡ ἀφῃρημένη ἔννοια πατήρ, ἀδελφός, αὐτόθι E:— ἐντεῦθεν μεταγ. ἐν συνθέσει, **αὐτοαγαθόν, αὐτοάνθρωπος, αὐτογραμμή, αὐτοΐππος, αὐτοϋγίεια**, κτλ.· ἴδε Ἀριστ. Μεταφ. 6. 16, 6·— ἡ κανονικωτέρα σύνταξις, ἵνα αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν κριθείη, ἀπαντᾷ ἐν Πλάτ. Πολ. 612C, κτλ. τίθεται καὶ διπλῆ, ἐκ τῆς εἰκόνος μανθάνειν αὐτήν τε αὐτήν, εἰ καλῶς ἤκασται, αὐτὴν τὴν ἰδίαν, ὁ αὐτ. Κρατ. 439A. **5)** κατὰ δοτ. μετὰ οὐσιαστ., ἡ **αὐτὸς** σημαίνει τὸ ὁμοῦ μετά τινος, ἀνόρουσεν αὐτῇ σὺν φόρμιγγι, ἀνεπήδησε σὺν αὐτῇ τῇ φόρμιγγι, δηλ. κρατῶν αὐτήν, Ἰλ. I. 194· αὐτῇ σὺν πήληκι κάρη, τὴν κεφαλὴν σὺν αὐτῇ τῇ περικεφαλαίᾳ, Ξ. 498, πρβλ. Ὀδ. N. 118, κτλ.· καὶ ἄνευ τῆς προθ. **σύν**, αὐτῇ κεν γαίῃ ἐρύσαιμ', «σὺν αὐτῇ τῇ γῇ ἑλκύσαιμι» (Σχόλ.), Ἰλ. Θ. 24 ἡ τελευταία αὕτη χρῆσις εἶναι κοινοτάτη ἐν τῷ Ἀττ. πεζῷ λόγῳ, αὐτοῖς ἀνδράσι, σὺν αὐτοῖς τοῖς ἀνδράσι, Ἡρόδ. 6. 93· αὐτοῖσι συμμάχοισι, σὺν αὐτοῖς τοῖς συμμάχοις, Αἰσχύλ. Πρ. 221· καὶ μετὰ τοῦ ἄρθρου, αὐτοῖσι τοῖς πόρπαξι Ἀριστοφ. Ἱππ. 849, κτλ.· αὐτοῖς τοῖς ἵπποις Ξεν. Κύρ. 1. 4, 7· ἐνίοτε ὅμως οἱ Ἀττ. προσθέτουσι καὶ τὴν πρόθ. **σύν**, π. χ. αὐτῷ ξὺν ἄγγει Εὐρ. Ἴων 32, πρβλ. Ἱππ. 1213, ἴδε Ἐλμσλ. Μήδ. 160· πρβλ. κατωτέρω, ἴδε 9.

6) προστίθεται εἰς τὰ τακτικὰ ἀριθμητικά, π. χ. πέμπτος αὐτός, δηλ. τέσσαρες ἄλλοι καὶ αὐτὸς πέμπτος, Θουκ. 1. 46, πρβλ. 8. 35, κτλ.: ἡ **αὐτὸς** ἐμφαίνουσα ἀείποτε τὸ κύριον πρόσωπον

δρᾰκοντο-ειδής, ές, ὅμοιος δράκοντι· ἐπίρρ. **δρακοντοειδῶς** ῥεῖν, ἔχειν ῥοῦν ὀφιοειδῆ, Στράβ. 424.

δρᾰκοντό-κομος, ον, ἔχων κόμην ὀφιοειδῆ, Νόνν. Δ. 1. 18.

δρᾰκοντ-ολέτης, ου, ὁ, ὁ καταστροφεὺς τοῦ δράκοντος, Ἀπόλλων Ἀνθ. Π. 9. 525.

δρᾰκοντό-μαλλος, ον, ὁ ἔχων κόμην ὀφιοειδῆ, Γοργόνες Αἰσχύλ. Πρ. 799.

δρᾰκοντό-μῑμος, ον, ὀφιοειδής, ὅμοιος πρὸς ὄφιν, τορεύματα Σώπατ. παρ' Ἀθην. 230E.

δρᾰκοντό-μορφος, ον, ἔχων μορφὴν δράκοντος, Λυκόφρ. 1043.

δρᾰκοντό-πους, ὁ, ἡ, ἔχων πόδας ὁμοίους πρὸς δράκοντας ἢ ὄφεις, Γίγαντες Τζέτζ. Λυκ. 63· Ἐριχθόνιος Μ. Ε.

δρᾰκοντο-φόνος, ον, ὁ δράκοντα ἢ δράκοντας φονεύων, Ὀρφ. Λιθ. 156.

δρᾰκοντό-φρουρος, ον, ὁ ὑπὸ δράκοντος φρουρούμενος, Λυκ. 1311.

δρᾰκοντώδης, ες, = **δρακοντοειδής**, Εὐρ. Ὀρ. 256, Πλούτ. 2. 551E.

δράκος, εος, τό, (δέρκομαι) ὀφθαλμός, Νίκ. Ἀλ. 481.

δρακών, **δρᾰκόμενος**, ἴδε ἐν λ. **δέρκομαι**.

δράκων [ᾰ], **οντος**, ὁ, (πιθ. ἐκ τοῦ **δέρκομαι**, **δρᾰκεῖν**, πρβλ. θηλ. **δράκαινα**)·—ὄφις περιγραφόμενος ὑπὸ τοῦ Ὁμ. ὡς πελώριος τὸ μέγεθος, χρώματος ἐρυθροῦ ἢ ἀμαυροῦ (φοινήεις, δαφοινός, κυάνεος), κατάστικτος (ἴρισσιν ἐοικότες), κατοικῶν εἰς τὰ ὄρη (ὀρέστερος), ἐντὸς ὀπῶν (ἑλισσόμενος περὶ χειῇ), τρεφόμενος μὲ βοτάνας δηλητηριώδεις (βεβρωκὼς κακὰ φάρμακα)· ἐν Ἰλ. Λ. 40, ἀναφέρεται τρικέφαλος. Ὁ Ὅμηρος φαίνεται μεταχειριζόμενος τὰς λέξεις **δράκων** καὶ **ὄφις** ἀδιαφόρως περὶ ὄφεως, Ἰλ. Β. 200-208, Μ. 201, 208· οὕτω καὶ Ἡσ. Θ. 322, 825, Πίνδ. Ν. 1. 60, Αἰσχύλ. Θήβ. 290, κτλ., ἐν ᾧ ὁ Ἡσ. Ἀσπ. 144 κἑξ. φαίνεται ὅτι ποιεῖται διάκρισιν αὐτῶν. Φαίνεται δὲ ὅτι οὗτος ἦτο πράγματι ὁ πύθων, πρβλ. Ἱερών. Β. Ἱλαρίωνος 39. **II**. θαλάσσιος ἰχθύς, Ἐπίχ. 36 Ahr., Ἀριστ. Ἱ. Ζ. 8. 13, 3. **III**. = **κηρύκειον**, πιθ. ῥάβδος ἔχουσα ὄφιν περιειλιγμένον, Σοφ. Ἀποσπ. 628. **2)** ψέλλιον ἢ περιδέραιον ὀφιοειδές, Λουκ. Ἔρωσ. 41. **3)** δεσμός, ἐπίδεσμος διὰ τὰ σφυρά, Ὀρειβάσ. Cocch. 172. **4)** στρατιωτικὴ σημαία, Θεμίστ. 1, 2.

δρᾶμα, τό, (δράω) ἔργον, πρᾶξις, Αἰσχύλ. Ἀγ. 533· ὑπούργημα, ἐργασία ἢ καθῆκον, ὅπερ ἐκπληροῖ τις, Heind. Πλάτ. Θεαιτ. 150A, Πολ. 451C· τὸ δρᾶμα δρᾶν ὁ αὐτ. Θεαιτ. 169B. **II**. πρᾶξις παριστανομένη ἐπὶ τῆς σκηνῆς, Ἀριστ. Ποιητ. 3, 4· μὴ ἐν τῷ δρ., οὐχὶ ἐν τῇ πράξει ἐπὶ τῆς σκηνῆς, αὐτόθι 24, 20, πρβλ. 14 13. **2)** δρᾶμα, ἰδίως τραγῳδία, Ἀριστοφ. Βατρ. 920, κτλ.· δρ. ποιεῖν αὐτόθι 1021· δρ. διδάσκειν, παριστάνειν δρ., ἴδε **διδάσκω** II· Σατυρικὸν δρ., Πλάτ. Συμπ. 222D· μεταφ., παντὸς εἴδους ὑπόκρισις καὶ τὸ ἐξ αὐτῆς ἀποτέλεσμα, δραματικὴ ἐνέργεια (ἐκτὸς τῆ. σκηνῆς), δραματικὴ ἐντύπωσις, τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγειν ὁ αὐτ. Ἀπολ. 35B· τραγικὸν γεγονός, Πολύβ. 24. 8. 12, κλ.

δρᾱμάτικός, ή, όν, ἀνήκων εἰς δρᾶμα, μιμήσεις Ἀριστ. Ποιητ. 4, 12· μῦθοι αὐτόθι 23, 1· δ. ἀτοπία, οἷα εὑρίσκεται εἰς δράματα, Διον. Ἀλ. 1. 84.—Ἐπίρρ. **-κῶς**, Βασίλ. 1, 935, Εὐστ. 6. 11.

δρᾱμάτιον, τό, ὑποκορ. τοῦ **δρᾶμα**, Πλούτ. Δημοσθ. 4.

δρᾱμᾰτοποιέω, γράφω δραματικῶς, τι Ἀριστ. Ποιητ. **4, 12**.

δρᾶμᾰτοποιΐα, ἡ, δραματικὴ σύνθεσις, ποίησις δραματ., Φίλων 2. 597.

δρᾶμᾰτο-ποιός, οῦ, ὁ, δραματικὸς ποιητής, Ψευδολουκ. Φιλοπάτρ. 13.

δρᾶμᾰτουργέω, = **δραματοποιέω**, Ἀθήν. 1F, Ἀλκίφρων 2. 3.

δρᾶμᾰτούργημα, τό, δραματικὴ σύνθεσις, Ἡσύχ.

δρᾶμᾰτουργία, ἡ, = **δραματοποιΐα**, Λουκ. Ὀρχ. 68· μεταφ. ἐπὶ τῆς ζωῆς, Σώπατ. παρὰ Στοβ. 311. 39.

δρᾶμᾰτουργός, όν, (* ἔργω) = **δραματοποιός**, Ἰουστῖν. Μ. πρὸς Ἕλλ. σ. 39. **II.** ὁ κατεργαζόμενος, αἴτιος, μύσους Ἰώσηπ. Ι. Π. 1. 26, 4.

δρᾰμεῖν, ἀπαρ. ἀορ. τοῦ **τρέχω**.

δράμημα ἢ δρόμημα, τό, τρέξιμον, δρόμος, ἀγὼν δρόμου· ὁ πρῶτος τύπος ἀπαντᾷ ἐν ἅπασιν ἢ τοῖς πλείστοις χειρογράφοις τοῦ Ἡροδ. 8. 98, Αἰσχύλ. Πέρσ. 247, Σοφ Ο. Τ. 193, Ἴων παρ' Ἀθην. 468C· ὁ δεύτερος ἐν Εὐρ. Μηδ. 1180, Φοιν. 1388, Βάκχ. 870, κτλ.· κυμάτων δραμήμασιν Τρῳ. 688.—Ὁ Blomf. προτείνει τὴν γραφὴν δρόμημα πανταχοῦ, ἀλλ' ἴδε Λοβ. Φρύν. 618 κἑξ.

δραμητέον, ῥημ. ἐπίθ., πρέπει τις νὰ δράμῃ, Σέξτ. Ἐμπ. Μ. 8. 271.

δράμις, ἡ, καὶ **δράμιξ**, εἶδος ἄρτου, Μακεδον. λέξις, Σέλευκ. παρ' Ἀθην. 114B.

δρᾰμοῦμαι, ἴδε ἐν λ. **τρέχω**.

δρᾶνος, εος, τό, (δράω) ἔργον, πρᾶξις· ἀμφίβολ. παρ' Ἡσυχ.

δράξ, ἀκός, ἡ, = **δράγμα**, Βατραχομ. 240, Ἑβδ.· ὡς ἀρσ., Στοβ. Ἐκλ. 1. 968. **II.** ὡς μέτρον, τὸ τέταρτον τοῦ ξέστου, Γραμμ. **III.** ἡ παλάμη, Ἡσύχ.

δρᾶπετ-ᾰγωγός, όν, ὁ ἐπανάγων δραπέτην δοῦλον· **Δραπεταγωγός**, ὁ, κωμῳδία τις τοῦ Ἀντιφάνους, Ἀθήν. 161.

δρᾱπέτευμα, τό, = τῷ ἑπομ., Διοκλῆς Μελίττ. 7.

δρᾱπέτευσις, εως, ἡ, κρυφία φυγή, Νικήτ. Χρον. 70D.

δρᾱπετεύω, φεύγω, κρυφίως φεύγω, Ξεν. Ἀπομν. 2. 1, 16· τινά, ἀπό τινος, Πλάτ. Συμπ. 216B· παρά τινος Λουκ. Ἔνυπν. 12· δραπετεύσουσιν ὑπὸ ταῖς ἀσπίσιν, θὰ φύγωσιν ὄπισθεν.. κρυπτόμενοι δηλ. ὑπὸ .., Ξεν. Ἑλλ. 2. 4, 16· δραπετεύοντα πολεμεῖν ὁ αὐτ. Ἀγησ. 1. 23· [αἱ δόξαι] δρ. ἐκ τῆς ψυχῆς Πλάτ. Μένωνι 98A· ἐκ τοῦ βίου Λουκ. Περεγρ. 21·—οὐσιαστ. **δραπετεία**, ἡ, Ἡσύχ. Ἴδε Κόντ. Γλωσσ. Παρατηρ. σ. 130.

δρᾱπέτης, ου, Ἰων. **δρηπέτης, εω**, ὁ, (ἐκ τοῦ **διδράσκω**, **δρᾶναι**)·—ὁ φεύγων, Λατ. fugitivus, βασιλέος, ἀπὸ τοῦ βασιλέως, Ἡρόδ. 3. 137·—ἰδίως ὁ δραπετεύσας, κρυφίως φυγὼν δοῦλος, δούλοισι, καὶ τοῦτο δρηπέτῃσι ὁ αὐτ. 6. 11· δρ. ἀνὴρ Σοφ. Ἀποσπ. 60. **2)** ὡς ἐπίθ., πούς δρ. Εὐρ. Ὀρ. 1498· βίος δρ. Ἀνθ. II. 10. 87· οὐ δραπέτην τὸν κλῆρον .. μεθείς, οὐχὶ τοιοῦτον ὥστε νὰ δύναται νὰ διαλυθῇ καὶ νὰ μὴ ἐξαχθῇ ἐκ τῆς κληρωτίδος, οἷος βῶλος χώματος, Σοφ. Αἴ. 1285.—Πιθ. μεθ' ὑπαινιγμοῦ πρὸς τὸν μῦθον περὶ Κρεσφόντου, ὡς διηγεῖται αὐτὸν ὁ Ἀπολλόδ. 2. 8, 4. **II.** θηλ. **δραπέτις, ιδος**, Σοφ. Ἀποσπ. 148, Ἀνθ. II. 12. 80· **Δραπέτιδες**, κωμῳδία τοῦ Κρατίνου.

δρᾱπετίδης, ου, ὁ, = τῷ προηγ., Μόσχ. 1. 3·—εἶναι δὲ πατρωνυμικὸν μόνον κατὰ τύπον, Λοβ. Αἴ. 879.

δραπετικός, ή, όν, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς δραπέτην, δρ. θρίαμβος. θρίαμβος ἀπὸ δραπετῶν δούλων, Πλούτ. Πομπ. 31· δρ. σώματα Ἐπιγρ. Κρήτ. ἐν τῇ Συλλ. Ἐπιγρ. 2554. 102.

δρᾱπετίνδα (ἐπίρρ.) παίζειν ἢ παιδιά. **1)** παιδιά, «ἔστι δὲ τῆς μυΐνδα καλουμένης τρόπος. τῶν παίδων ὁ μέν τις μύει τοὺς ὀφθαλμούς, οἱ δὲ ἄλλοι φεύγουσι φυλαττόμενοι τὸ ἀγρευθῆναι» Ἐτυμ. Μ. 286 49, Σουΐδ.

δρᾱπέτις, ιδος, ἡ, θηλ. τοῦ **δραπέτης**, ὃ ἴδε.

δρᾱπετίσκος, ὁ, ὑποκορ. τοῦ **δραπέτης**, Λουκ. Δραπέτ. 33.

δρᾱπετο-ποιός, όν, ὁ ἀναγκάζων τινὰ νὰ δραπετεύσῃ, Ἰω. Χρυσ. 5. 125.

δρᾱσείω, ἐφετικὸν τοῦ **δράω**, ἔχω διάθεσιν, ἐπιθυμῶ νὰ πράξω, Σοφ. Αἴ. 326, 585, Εὐρ. Φοιν. 1208, Μηδ. 93, Ἀριστοφ. Εἰρ. 62.

δρᾱσῖμος [ᾰ], **ον**, = **δραστήριος**· τὸ δρ., δραστηριότης, Αἰσχύλ. Θήβ. 554.

δρᾶσις, εως, ἡ, πρᾶξις, δύναμις, ἐνέργεια, ἀποτελεσματικότης, φαρμάκου Λουκ. Τραγ. 275· θυσία, Ἡσύχ. **II.** (**δράω B**), ὅραμα, Ἐτυμ. Μ. 287. 7.

δρασκάζω, (διδράσκω) ἀποδιδράσκω, ζητῶ νὰ δραπετεύσω, Λυσ. 117. 36.

δρασμός, Ἰων. **δρησμός**, ὁ· (διδράσκω)·—δραπέτευσις, φυγή, δρησμὸν βουλεύειν Ἡρόδ. 5. 124· δρησμῷ ἐπιχειρέειν ὁ αὐτ. 6. 70· δρασμῷ κρυφαίῳ Αἰσχύλ. Πέρσ. 360· δρασμὸν εὑρεῖν αὐτόθι 370· ἐν τῷ πλήθει, Εὐρ. Ὀρ. 1374, κτλ.· σπάν. παρ' Ἀττ. πεζοῖς, δρασμῷ χρήσθαι Αἰσχίν. 56. 38.

δράσσομαι, Ἀττ. **δράττομαι**, Ἡρόδ. 3. 13, Ἀριστοφ. Βατρ. 545· μέλλ. **δράξομαι** Ἀνθ. Πλαν. 275, Ἑβδ.· ἀόρ. **ἐδραξάμην** Πλάτ., κτλ.· πρκμ. **δέδραγμαι ἢ δέδαργμαι**, β' πρόσ. δέδαρξαι Εὐρ. Τρῳ. 745, μετοχ. **δεδραγμένος** Ὁμ.·—τὸ ἐνεργ. δράσσω ἀπαντᾷ παρὰ Πολυβ. Γ', 155· (πρβλ. **δράξ**, **δράγμα**, **δραχμή**)· ἀποθ. Λαμβάνω ἢ συλλαμβάνω διὰ τῆς χειρός, πιάνω σφικτά· μετὰ γεν. πράγματος, κόνιος δεδραγμένος αἱματοέσσης, πιάνων σφιγκτὰ διὰ τῶν χειρῶν τὴν πλήρη αἵματος κόνιν, Ἰλ. Ν. 393, Π. 486· οὕτω (μεταφ.), ἐλπίδος δεδραγμένος Σοφ. Ἀντ. 235 (ἀλλ' ἴδε **φράσσω** I)· δράξασθαι τῶν ἁλῶν, λαμβάνω δράκα, μίαν «φοῦχταν» ἅλατος, Πλάτ. Λυσ. 209E, κτλ. **2)** καταλαμβάνω, πιάνω, συλλαμβάνω, τί μου δέδαρξαι χερσί; Εὐρ. Τρῳ. 745· δραξάμενος φάρυγος, συλλαβὼν αὐτοὺς ἐκ τοῦ λάρυγγος, Θεόκρ. 24. 28, πρβλ. 25. 145·—μεταφ., δράξασθαι καιροῦ Διόδ. 12. 67· μείζονος οἴκου (ἐνν. δι' ἐπιγαμίας), Καλλ. Ἐπιγράμμ. 1. 14, πρβλ. Ἀνθ. II. 11. 238. **II.** μετ' αἰτ. πράγμ., λαμβάνω τι «μὲ τὲς φοῦχτες», ταύτας [τὰς μνέας] δρ. Ἡρόδ. 3. 13· κόνιν δραγμοῖσι δεδραγμένοι Κοϊντ. Σμ. 1. 350.

δράστας, Δωρ. ἀντὶ **δρήστης**.

δραστέος, α, ον, ῥηματ. ἐπίθ., ποιητέος, πρακτέος, Σοφ. Τρ. 1204. **II.** δραστέον, πρέπει τις νὰ πράξῃ, ὁ αὐτ. Ο. Τ. 1443, Εὐρ. Ι. Α. 1024.

δραστήρ, δράστειρα, μόνον ἐν τῷ Ἐπ. τύπῳ **δρηστ-**, ὃ ἴδε.

δραστήριος, ον, ἐνεργητικός, ἀποτελεσματικός, μηχανὴ Αἰσχύλ. Θήβ. 1041· φάρμακον Εὐρ. Ἴωνι 1185· δρ. ἐς τὰ πάντα Θουκ. 4. 81· τὸ δρ., δραστηριότης, ἐνεργητικότης, ὁ αὐτ. 2. 63· ἀντιθ. ἄπραγμον·—δρ. ῥῆμα, ἐνεργητικόν· ἀντιθ. παθητικόν, Διον. Ἁλ. π. Θουκ. 24. **2)** σπανίως ἐπὶ κακῆς σημασ., τὰ δεινὰ καὶ δραστήρια, θρασέα ἔργα, Εὐρ. Ὀρ. 1554. **3)** δουλικός, ἔργον Νόνν. Ἰω. ιγ', ἴδε ζ'.

δραστηριότης, ητος, ἡ, ἐνεργητικότης, Εὐστ. 123. 46.

δραστικός, ή, όν, = **δραστήριος**, Πλάτ. Νόμ. 815A. **2)** ὡς ἰατρ. ὅρος, ταχέως ἐνεργῶν, Διοσκ. 1. 18.

δραστοσύνη, ἴδε ἐν λ. **δρηστοσύνη**.

δρᾱτός, ή, όν, κατὰ μετάθ. ἀντὶ **δαρτός**, ῥημ. ἐπίθ. τοῦ δέρω, ἐκδεδαρμένος, ἀφῃρημένος τὸ δέρμα, δρατὰ σώματα Ἰλ. Ψ. 169.

δραχμαῖος, α, ον, = **δραχμιαῖος**, Νίκ. Θ. 519, κτλ.· πρβλ. Λοβ. Φρύν. 545.

δραχμή, ἡ, (ἐκ τοῦ **δράσσομαι**, κυρ., ὅσον δύναταί τις νὰ κρατήσῃ ἐντὸς τῆς χειρός του). **1)** ἐν ἐκ τῶν Ἀττ. σταθμῶν ἰσοδύναμον περίπου πρὸς 4,3 γραμμάρια· ἡ δὲ Αἰγυπτιακὴ ἦτο = 1⅛ τῆς Ἀττικῆς· ὅρα Λεξικ. τῶν Ἀρχαιοτήτων. **2)** Ἀττικὸν νόμισμα ἰσοδυναμοῦν πρὸς ἓξ ὀβολούς, σχεδὸν ἴσον τῷ Ρωμ. denario, Ἡρόδ. 7. 144, Ἀνδοκ. 32. 34, κτλ. **II.** δραχμὰς ὡσαύτως μετεχειρίζοντο καὶ ἀλλαχοῦ, ὡς ἐν Ὀρχομενῷ, Συλλ. Ἐπιγρ. 1569. 111· ἐν Κερκύρᾳ, 1838, κτλ. [Ἡ παραλήγουσα εἶνε μακρὰ παρὰ τῷ Σιμων. 160, καὶ ἐνίοτε παρὰ τοῖς κωμικοῖς, ὅτε ὑπὸ Bergk καὶ Δινδ. διορθοῦται διὰ τοῦ τύπου **δαρχμή** (ὃν ἀναφέρει ὁ Ἡσύχ.), ἴδε Ἀριστοφ. Σφηκ. 691, Εἰρ. 1201, Πλ. 1019, Πλάτ. Κωμ. Φα. 2. 18· ἐνῷ ὁ Gaisford φαίνεται προτιμῶν τὸν τύπον **δραγμή** μνημονευόμενον ὑπὸ τοῦ Σουΐδ. ἐν λ. Ὁ τύπος drāchŭma ἀπαντᾷ παρὰ Plaut. Trin. 2. 4, 23].—Πρβλ. **δαρχνά**.

δραχμήιος, α, ον, Ἰων. ἀντὶ **δραχμαῖος**, Νίκ. Θ. 604.

δραχμιαῖος, α, ον, ἀξίζων μίαν δραχμήν, Ἀριστοφ. Ἀποσπ. 370, Πλάτ. Κρατ. 384B· δρ. συναλλάγματα Ἀριστ. Πολ. 4. 16, 4· πρβλ. **δραχμαῖος**.

δραχμίον, τό, ὑποκορ. τοῦ **δραχμή**, Ἀριστέας π. Ἑβδ. σ. 241.

δράω, (Α), ὑποτακτ. **δρῶ, δρᾷς, δρᾷ**, εὐκτ. **δρῷμι**, Ἐπ. **δρώοιμι**, Ὀδ. Ο. 317, οὐδαμοῦ ἀλλαχοῦ παρ' Ὁμήρῳ (πρβλ. **ὑποδρήσσω**)· παρατ. **ἔδρων**· μέλλ. **δράσω**· ἀόρ. α' **ἔδρᾱσα**, Ἰων. **ἔδρησα**, Θέογν. 954· πρκμ. **δέδρᾱκα**.—Παθ., ἀόρ. α' **ἐδράσθην**, **δρασθεὶς** Θουκ. 3. 38., 6. 53· πρκμ. **δέδρᾱμαι**, οὐδέποτε **δέδρασμαι**, διότι παρὰ Θουκ. 3. 54 πρέπει νὰ γραφῇ **δεδραμένων** ἐκ χ/φων (ὁ Κούρτ. παραβάλλει τὸ Λιθ. darau, = πράττω). Ποιῶ, πράττω, ἐνεργῶ, κατορθώνω, Λατ. agere, συχνάκις παρ' Ἀττ. πεζοῖς καὶ ποιηταῖς, (κατὰ τὸν Ἀριστ. Ποιητ. 3, δρᾶν ἦτο τὸ παρὰ Δωρ. ἰσοδύναμον ῥῆμα πρὸς τὸ Ἀττ. **πράττειν**), αἶψά κεν εὖ δρώοιμι μετὰ σφίσιν, ὅττι θέλοιεν Ὀδ. Ο. 317 (ἔνθα ὁ Σχολ. ἑρμηνεύει διακονοίην, δουλεύοιμι, ἤθελον ὑπηρετεῖ .., πρβλ. **δρήστης**)·—ἀκολούθως, ὡς ἀντίθ. τῷ **πάσχω**, ἐν ταῖς φράσ. εὖ δρῶσαν, εὖ πάσχουσαν Αἰσχύλ. Εὐμ. 868· ἄξια δράσας, ἄξια πάσχων ὁ αὐτ. Ἀγ. 1527· κακῶς δράσαντες οὐκ ἐλάσσονα πάσχουσι ὁ αὐτ. Πέρσ. 813· ἐπὶ τοῦ εὑρισκομένου ἐν ἐσχάτῃ ἀμηχανίᾳ, τί πάθω; τί δὲ δρῶ; ὁ αὐτ. Θήβ. 1057, πρβλ. Χο. 899· δρῶν ἀντιπάσχω χρηστὰ Σοφ. Φ. 584· παροιμ., 'δράσαντι παθεῖν', τριγέρων μῦθος τάδε φωνεῖ Αἰσχύλ. Χο. 313 (ἔνθα ἴδε Blomf.)· δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται ὁ αὐτ. Ἀποσπάσμ. 267, πρβλ. Σοφ. Ο. Τ. 1272 (ἴδε ἐν λ. **ῥέζω**)· ὡσαύτως, ἔργα πεπονθότα .. μᾶλλον ἢ δεδρακότα, πράξεις παθητικαὶ μᾶλλον ἢ ἐνεργητικαί, ὁ αὐτ. Ο. Κ. 267, κάλλιστα παριστανόμενον διὰ τοῦ Σαιξπηρείου «more sinned against than sinning», θεωρουμένων τῶν πράξεων ὡς εἰ ἦσαν αὐτὸς ὁ ἄνθρωπος·—ὁ δρῶν, ὁ πράττων, πᾶς ὁ πράττων, Αἰσχύλ. Ἀγ. 1359, Σοφ., κτλ.· ὁ δράσας, ὁ πράξας, ὁ ἔνοχος, Πλάτ. Νόμ. 878B, πρβλ. Σοφ. Τρ. 1108· ὁ δεδρακὼς ὁ αὐτ. Ο. Τ. 246·—μετὰ διπλῆς αἰτ., οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν ὁ αὐτ. Φ. 946, πρβλ. Ο. Κ. 854.

κτλ.· ὡσαύτως μετ' ἐπιρρ., εὖ, κακῶς δρᾶν τινα, εὐεργετεῖν, κακοποιεῖν τινα, Θέογν. 108, Σοφ. Αἴ. 1154· ὡσαύτως, δρᾶν τι εἴς τινα Σοφ. Ο. Κ. 976· τί τινι Ο. Τ. 1402·— πάντα δρῶ, δοκιμάζω πάντα, Valck. Ἱππ. 284· τὰ δρώμενα, τὰ πραττόμενα, Ο. Κ. 1644· τί δράσω; πρὸς ἔκφρασιν ἐγκαταλείψεως ἢ ἀπελπισμοῦ, Αἴ. 909, 920, κτλ.· οἶσθ' οὖν ὃ δρᾶσον; ἴδε * εἴδω ἐν τέλ. **II.** ὁ δρῶν Συλλ. Ἐπιγρ. 214. 24.

δράω, δρῶ (Β), = **ὁράω**, Ε. Μ. 287.7, Α. Β. 549.

δρεπάνη [ᾰ], ἡ, (δρέπω) δρέπανον, ἐργαλεῖον θεριστικόν, ἤμωον ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες Ἰλ. Σ. 551· κλαδευτήριον, ἐτρύγων .. δρεπάνας ἐν χ. ἔχ. Ἡσ. Ἀσπ. 292·— σπάνιον παρὰ πεζοῖς, Πλούτ. Κλεομ. 26.— Πρβλ. **δρέπανον.**

δρεπανηΐς, ΐδος, ἡ, ποιητ. ἀντὶ τοῦ προηγ., Νίκ. παρὰ Στεφ. Β. ἐν λ. **ζάγκλη.**

δρεπᾰνη-φόρος, ον, φέρων δρέπανον ἢ ξίφος δρεπανοειδές, ἅρμα δ., ἔχον ἑκατέρωθεν δρέπανα, Λατ. currus falcatus, Ξεν. Ἀν. 1. 7.10, κτλ.

δρεπάνιον, τό, ὑποκορ. τοῦ **δρέπανον**, Σέλευκ. παρ' Ἀθην. 155Ε.

δρεπᾰνίς, ίδος, ἡ, πτηνὸν οὕτω κληθὲν ἐκ τοῦ σχήματος τῶν πτερύγων αὐτοῦ, ἴσως τὸ πετροχελιδόνι (ἄπους), Ἀριστ. Ἱστ. Ζ. 1. 1, 22.

δρεπᾰνο-ειδής, ές, ἔχων σχῆμα δρεπάνου, Θουκ. 6. 4, Στράβων 335.

δρέπᾰνον, τό, (δρέπω) = **δρεπάνη**, δρ. εὐκαμπὲς Ὀδ. Σ. 368· χαλκέοις ἀμᾶν δρ. Σοφ. Ἀποσπ. 479· ὁ συνήθης τύπος παρὰ πεζοῖς, Ἡρόδ. 1.125 καὶ Ἀττ.· ἐργαλεῖον θεριστικὸν ἐπικαμπές, Ξεν. Κύρ. 6. 1, 30. **2)** εἶδος ξίφους ἐπικαμποῦς, δρεπανοειδοῦς, «σπαθί», ἅρπη, Λατ. ensis falcatus, Ἡρόδ. 5.112, 7. 93.

δρεπᾰνουργός, ὁ, (*ἔργω) δρεπανοποιός, Φερεκρ. Πέρσ. 1. 2, Ἀριστοφ. Εἰρ. 548.

δρεπᾰνώδης, ες, = **δρεπανοειδής**, Ε. Μ. 219. 2.

δρεπτός, ή, όν, (δρέπω) ὃν ἔδρεψέ τις, δρεπτόν, εἶδος φιλήματος, ἁρπακτόν, Τηλεκλείδ. Ἀψευδ. 3 (Ἡσύχ.).

δρέπτω, ποιητ. ἀντὶ **δρέπω**, κόπτω, ἰδίως ὅπως συλλέξω, Ἐπ. παρατ. **δρέπτον**, Μόσχ. 2. 69· συχνότερον ἐν τῷ μέσῳ, Ὀππ. Κ. 2. 38, Ἀνθ. Πλαν. 4. 231, κτλ.

δρέπω, Ἐπ. παρατ. **δρέπον** Ὕμν. Ὁμ. εἰς Δήμ. 425· ἀόρ. α' **ἔδρεψα** Ἡρόδ. 2. 92, Πίνδ.· ἀόρ. β' **ἔδρᾰπον** Πίνδ. — Μέσ., Δωρ. μέλλ. **δρεψεῦμαι** Θεόκρ. 18. 40· ἀόρ. **ἐδρεψάμην** Ὀδ., κλπ. — Παθ., ἀόρ. **ἐδρέφθην** Φιλόστρ. 334 (ἴδε ἐν λ. **δέρω**· ἐντεῦθεν παράγονται τὰ **δρεπάνη, δρέπανον**). Κόπτω (καὶ συλλέγω), Λατ. carpo, ἄνθεα Ὕμν. Ὁμ. εἰς Δήμ. 425, Ἡρόδ. 2, 92, Εὐρ., κτλ.· κασίην Ἡρόδ. 3. 110· καρπὸν Πλάτ. Τιμ. 91C·— μεταφ. ὡς τὸ Λατ. decerpere, κτῶμαι, καταλαμβάνω, ἀπολαύω τινός, δρ. τιμάν, ἥβαν Πίνδ. Π.1. 95., 6. 48, κτλ.· καὶ πληρέστερον, δραπὼν ζωᾶς ἄωτον αὐτόθι 4. 234· κορυφὰς ἀρετᾶν ἄπο δρ. ὁ αὐτ. Ο.1, 20· δρ. σοφίας καρπὸν ὁ αὐτ. Ἀποσπ. 227· λειμῶνα Μουσῶν δρ., περὶ ποιητοῦ, Ἀριστοφ. Βατρ. 1300. **II.** Μέσ., κόπτω, συλλέγω χάριν ἐμαυτοῦ, φύλλα δρεψάμεναι .. δρυὸς Ὀδ. Μ. 357· νάρκισσον .. δρεπόμην Ὕμν. Ὁμ. εἰς Δήμ. 429· Ἰσθμιάδων δρέπεσθαι ἄωτον Πίνδ. Ν. 2. 13· ἀπὸ κρηνῶν μελιρρύτων δρεπόμενοι τὰ μέλη Πλάτ. Ἴωνι 534Β·— καὶ κατὰ τολμηρὰν μεταφορὰν ὁ Αἰσχύλ. λέγει: αἷμα δρέπομαι, χύνω αἷμα, Θήβ. 718, πρβλ. Βίωνα 1. 22.

δρηπέτης, δρησμός, Ἰων. ἀντὶ **δραπέτης, δρασμός.**

δρησμοσύνη, ἡ, = **δρηστοσύνη**, Λατ. cultus, δρ. ἱερῶν, φροντίς, ἐπιμέλεια ἱερῶν τελετῶν, Ὕμν. Ὁμ. εἰς Δήμ. 476. **II.** = **δρασμός**, Μάξιμ. π. καταρχ. 351.

δρηστήρ, ῆρος, ὁ, (δράω) ἐργάτης, ἐργατικὸς ἄνθρωπος, Ὀδ. Π. 248· θηλ. **δρήστειρα**, ἐργάτις, ἐργατικὴ γυνή, Ὀδ. Κ. 349, Τ.345. **II.** (διδράσκω) δραπέτης, λῃστὴς Βάβρ. Ἀποσπ. 1.14.

δρήστης, ου, Δωρ. **δράστας, α**, ὁ, ἐργάτης, ἐργαζόμενος, Ἀρχίλ. 67· θεράπων, οὐ δράστας, ὑπηρέτης, οὐχὶ δοῦλος, Πίνδ. Π. 4. 511 (ἴδε Dissen 287)· θηλ. **δρῆστις** Ἀνθ. Π.12. 73. — Πρβλ. Κόντ. Γλωσσ. Παρατ. σ. 427 κἑξ.

δρῆστις, ἡ, (διδρήσκω) = **δραπέτις**, Καλλ. Ἐπ. 42.

δρηστοσύνη, ἡ, Ἰων. ἀντὶ **δραστ-**, δραστηριότης περὶ τὴν διακονίαν, Ὀδ. Ο. 321· δμωῒς δρηστοσύνῃσι κεκασμένη Συλλ. Ἐπιγρ. 939.

δρῖλος, ὁ, λιπόδερμος, ψωλός, Λατ. verpus, Ἀνθ. Π. 11. 197. **2)** ἕλμινς, σκώληξ τῆς γῆς, Ἐπιγράμμ.

δρῖμαι, ψῦχος, Ἡσύχ. (Ἡ συνήθεια ὀνομάζει δρίμες καὶ δρίματα τὰς πέντε πρώτας ἡμέρας τοῦ Αὐγούστου, καθ' ἃς αἱ γυναῖκες δὲν πλύνουσι).

δρῑμύλος, ον, ὑποκορ., ὄμμα δρ., διαπεραστικόν, Μόσχ. 1. 8.

δρῑμύ-μωρος, ον, = **ὀξύμωρος**, Γαλην.

δριμυπάθεια, ἡ, ὀξύ, ἰσχυρὸν πάθος, Θ. Στουδ. σ. 896 (Migne) ἀντίθ. **πραϋπάθεια.**

δρῑμύς, εῖα, ύ, διαπεραστικός, ὀξύς, Λατ. acer, δριμὺ βέλος Ἰλ. Λ. 270· καὶ μεταφ., δριμεῖα μάχη Ο. 696, Ἡσ. Ἀσπ. 261· δριμὺς χόλος Ἰλ. Σ. 322· δριμὺ μένος Ὀδ. Ω. 319· ἄχος Ἡσ. Ἀσπ. 457· οὕτω, δρ. θυμὸς Αἰσχύλ. Χο. 392. **II.** παρ' Ἀττ., ἐπὶ πραγμάτων, ἅτινα ἐνοχλοῦσιν ἰδίως τοὺς ὀφθαλμοὺς ἢ τὴν γεῦσιν, καυστικός, ὀξύς, ἐρεθιστικός, ἐπὶ καπνοῦ, Ἀριστοφ. Σφηξ. 146· καυστικός, δυνατός, ἀντίθ. **γλυκύς**, Ξεν. Ἀπομν. 1. 4, 5, πρβλ. Πλάτ. Κωμ. Καθ. 5, Ἀριστ. π. Ψυχ. 2. 10, 6· ἐπὶ ὀσμῆς, Ἀριστοφ. Πλ. 694, Ἀριστ. ἔνθ' ἀνωτ. 2. 9, 5· δριμέσιν ἰητρεύειν, μὲ αὐστηρά, δυνατὰ φάρμακα, Ἱππ. Ἀγμ. 769·— ἐπίρρ. **-έως** Ἀναξανδρ. Ἡρακλ. 1· δριμύτερον ὄζειν Ἀριστ. Προβλ. 12.7. **III.** μεταφ. καὶ ἐπὶ προσώπων, θερμός, αὐστηρός, πικρός, ἄγριος, ἀλάστωρ Αἰσχύλ. Ἀγ. 1501· ἄγροικος Ἀριστοφ. Ἱππ. 808, κτλ.· ὡσαύτως, ἀγχίνους, πανοῦργος, Λατ. acutus, Εὐρ. Κύκλ. 104· ἔντονοι καὶ δρ. Πλάτ. Θεαιτ. 173Α· δρ. καὶ δικανικὸς αὐτόθι 175D· δρ. ἐν τῷ ἀποκρίνεσθαι Ἀριστ. Τοπ. 8.1, 17· λόγος δριμύτατος ὁ αὐτ. Σοφ. Ἐλέγχ. 33, 5· δριμὺ βλέπειν, βλέπειν μετὰ πικρίας ἢ αὐστηρότητος, Ἀριστοφ. Βατρ. 562· ἀλλ' ὡσαύτως, βλέπω ὀξέως, ὀξυδερκῶς, Πλάτ. Πολ. 519Β.

δρῑμύσσω, ἐμποιῶ δριμύτητα, πικραίνω, Νικήτ. Χρον. 382D. **II.** αὐστηρῶς μεταχειρίζομαι, Εὐστ. 201. 23.

δρῑμύτης, ητος, ἡ, ὀξύτης, αὐστηρότης τῶν χυμῶν, Ἱππ. Ἀρχ. Ἰητρ. 15· ὀξύτης γεύσεως, κτλ., Ἀνάξιππ. Ἐγκαλ. 1. 46· καὶ κατὰ πληθ., Ἀρχέδικ. Θησ. 1.7· ἐπὶ καπνοῦ, Πολύβ. 22.11, 20. **II.** μεταφ., ὀξύτης, σφοδρότης, ὀξύνοια, πανουργία, Πλάτ. Πολιτ. 311Α· δρ. πρὸς τὰ μαθήματα ὁ αὐτ. Πολ. 535Β, Λουκ. Ἀλεξ. 4.

δρῑμυφᾰγέω, (φαγεῖν) τρέφομαι διὰ τροφῆς δριμείας, Παῦλ. Αἰγ. 4. σ. 131.

δρῑμυφᾰγία, ἡ, τὸ διατρέφεσθαι διὰ δριμείας τροφῆς, Διοσκ. 2.33.

δρίος, τό, (ἴδε **δρῦς**) λόχμη, δάσος, δρίος ὕλης, λόχμη δάσους, Ὀδ. Ξ. 353 (ἔνθα τὸ γένος εἶναι ἀόριστον)· ἀλλὰ δρίος εὔδενδρον ὑλῆεν Ἀνθ. Π. 7. 193, 203· ἅπαν Ὀππ. Ἁλ. 4. 588· ἐν δρίει Συλλ. Ἐπιγρ. 5430. 43·— κατὰ πληθ. **δρία**, τά, (ὡς εἰ ἐκ τοῦ **δρίον**), Ἡσ. Ἔργ. κ. Ἡμ. 530, Σοφ. Τρ. 1012, Εὐρ. Ἑλ. 1326.

δρίφος ἀντὶ **δίφρος**, Σώφρων ἐν τῷ Μ. Ε., πρβλ. Schäf. Γρηγ. Κορίνθ. σ. 337.

δροίτη, ἡ, ξύλινος λουτήρ, ἐν γένει λουτήρ, πύελος, Αἰσχύλ. Ἀγ. 1540, Χο. 999, Εὐμ. 633· ὡσαύτως Νίκ. Ἀλ. 462, Λυκόφρ., κτλ. — Ἡ σημασία «νεκροθήκη» (σορός), ἣν παρέχουσί τινες τῶν Γραμματικῶν, φαίνεται ὅτι ἔχει τὴν ἀρχὴν αὐτῆς ἐκ τούτων τῶν χωρίων· ὁ δὲ τύπος δρύτη ἐσχηματίσθη διά τινος σχετίσεως πρὸς τὴν λέξιν **δρῦς.**

δρομάασκε, λείψανον παλαιοῦ τινος ῥήματος **δρομάω** = **τρέχω**, Ἡσ. Ἀποσπ. 2· ἀλλ' ὁ ἀνάλογος τύπος θὰ ἦτο **δρώμασκε** (**δρωμάω**) Λοβ. Φρύν. 583, καὶ τὰ Ἐνετ. Σχόλ. Ἰλ. Υ. 227 ἔχουσι **φοίτασκε**·— πρκμ. **δεδρόμηκε** Βάβρ. 60. 8 πρβλ. **ὑπαιδεδρόμᾱκα** Σαπφ. 2. 10.

δρομαγετέω, προΐσταμαι τοῦ ἀγῶνος τοῦ δρόμου, Ἐπιγρ. Λέσβ. ἐν τῇ Συλλ. Ἐπιγρ. 2183.

δρομάδην, ἐπίρρ., (δρόμος) «τρεχᾶτα», δρομαίως, Ἡσύχ.

δρομαῖος, α, ον, ἢ (ἐν Εὐρ. Ἀλκ. 244) **ος, ον**·— τρέχων, ταχύς, «τρεχᾶτος», κἀγὼ δρομαία βᾶσα Σοφ. Τρ. 927· οὐχ ὡς δρομαία πῶλος Εὐρ. Ἑλ. 543· νεφέλας δρομαίου ὁ αὐτ. Ἀλκ. ἔνθ' ἀνωτ.· δρομαίαν πτέρυγ' ἐκτείνων Ἀριστοφ. Εἰρ. 160· ὡσαύτως παρὰ πεζοῖς, λαγὼς δρ., ὃν καταδιώκουσι κύνες, κατ' ἀντίθεσιν πρὸς τὸ εὐναῖος, Ξεν. Κύρ. 5, 9· ἴχνη δρομαῖα, τὰ ἴχνη τρέχοντος λαγωοῦ, αὐτόθι 3, 8· δρ. κάμηλος, ἡ δρομὰς λεγομένη, Πλούτ. Ἀλεξ. 31.— Ἐπίρρ. **-ως**, Σχόλ. Εὐρ. Ὀρ. 1416.

δρόμαξ, ακος, ὁ, ἱκανὸς εἰς τὸ τρέχειν, κάμηλος Γεωπ. 16. 22, 7.

δρομάς, άδος, ὁ, ἡ, δρομαῖος, τρέχων, προσέβην δρομὰς ἐξ οἴκων Εὐρ. Ἱκ. 1000· ἄμπυξ δρ., ὁ ταχέως περιστρεφόμενος κύκλος, Σοφ. Φ. 680· ἐπὶ πλοίων, Ἀριστοφ. Ἀποσπ. 375·— ὡσαύτως μετ' οὐδετ., δρομάδι κώλῳ Εὐρ. Ἑλ. 1301· δρομάσι βλεφάροις ὁ αὐτ. Ὀρ. 837. **2)** ὡς τὸ φοιτάς, ἀγρίως περιπλανώμενος, μανιώδης, ὁ αὐτ. Ἱππ. 549, Τρῳ. 42. **II.** εἴδη τινὰ ἰχθύων, οἷον θύννοι, πηλαμύδες, ἀμίαι, Ἀριστ. Ἱ. Ζ. 1. 1, 24. **III.** ὁ περιτρέχων τὰς ὁδούς, περὶ πόρνης, Λατ. currax, Φρύν. Κωμ. Μουσ. 3.

δρομεύς, έως, ὁ, ὁ ἔργον ἔχων τὸ τρέχειν, Εὐρ. Ἑλ. 824, Ἀριστοφ. Σφηξ. 1206, Πλάτ. Νόμ. 822Β· πληθ. **δρομῆς**, Εὔπολ. Δημ. 6· Ἐπ. δοτ. **δρομέσι**, Καλλ. Ἀποσπ. 498. 4.

δρόμημα, τό, ἴδε ἐν λ. **δράμημα.**

δρομίας, ου, ὁ, εἶδος ἰχθύος, Ἐρατοσθ. παρ' Ἀθην. 284D.

δρομικός, ή, όν, ἐπιτήδειος εἰς τὸν δρόμον, ταχύς, Πλάτ. Θεαιτ. 148C. κτλ.· τὰ δρομικὰ τοῦ πεντάθλου, ὁ δρόμος, ἀγὼν τοῦ δρόμου, Ξεν. Ἑλλ. 7. 4, 29· τὰ δρ. γυμνάζεσθαι Δημ. 1408. 15· οὕτω, τὸ δρομικὸν Δίων Κ. 67. 8.— Ἐπίρρ. **-κῶς**, Πλάτ. Νόμ. 706C.

δρόμιος, ὁ, μία τῶν προσηγοριῶν τοῦ τρίτου παίωνος, Σχολ. Ἡφαιστ. (Script. metr. gr. ed. Westph. σ. 135. 28).

δρομο-κήρυξ, ῡκος, ὁ, ὁ τρέχων κῆρυξ, ταχυδρόμος, ἀγγελιαφόρος, Αἰσχίν. 45. 20.

δρόμος, ὁ, (δραμεῖν, δέδρομα)·— ἀγὼν δρόμου, τρέξιμον· ἐν Ἰλ. κατὰ τὸ πλεῖστον ἐπὶ ἵππων, ἵπποισι τάθη δρόμος, καὶ ἐπὶ ἀν-

δρῶν, τέτατο δρόμος, ἴδε ἐν λ. τείνω I. 2· οὐρίῳ δρόμῳ, κατ' εὐθὺν δρόμον, Σοφ. Αἴ. 889· ἅπαντι χρῆσθαι τῷ δρόμῳ, μετὰ πάσης ταχύτητος, Λουκ. Δημ. 10·— ἐντεῦθεν ἐπὶ πάσης ταχείας κινήσεως, π. χ. ἐπὶ πτήσεως, Αἰσχύλ. Πέρσ. 205· — ὡσαύτως ἐπὶ χρόνου, ἡμέρης δρ., τὸ τρέξιμον τῆς ἡμέρας, ἤτοι τὸ διάστημα, ὅπερ δύναταί τις νὰ διαδράμῃ ἐπὶ μίαν ἡμέραν, Ἡρόδ. 2. 5, πρβλ. 8. 98· ἵππου δρ. ἡμέρας Δημ. 428, ἐν τέλ.·—ἐπὶ πραγμάτων, δρ. νεφέλης, ἡλίου Εὐρ. Φοιν. 166, Πλάτ. Ἀξ. 370Β, κτλ.· — δρόμῳ, δρομαίως, «τρεχᾶτα»·— συχνάκις μετὰ ῥημάτων κινήσεως, δρόμῳ ἄγειν Ἡρόδ. 9. 59· ἰέναι 4.77· χρῆσθαι 6. 112· χωρεῖν Θουκ. 4. 31· ἐπὶ ἐφόδου τοῦ πεζικοῦ, ἴδε ἐν λ. θέω· δρόμῳ ξυνῆψαν Εὐρ. Φοιν. 1101· βοηθῆσαι δρόμῳ Ἀριστοφ. Ἀποσπ. 467· ὡσαύτως κατὰ πληθ., δρόμοις Αἰσχύλ. Πρ. 838, Ἱκέτ. 819. **2)** ἡ ἐν τῷ τρέχειν ἅμιλλα, Συλλ. Ἐπιγρ. 108. 11, κ. ἀλλ.·— παροιμ., περὶ τοῦ παντὸς δρόμον θεῖν, ἀγωνίζεσθαι περὶ τῶν ὅλων, Ἡρόδ. 8.74· τὸν περὶ ψυχῆς δρόμον δραμεῖν Ἀριστοφ. Σφηξ. 375· περὶ ψυχῆς ὁ δρ. Πλάτ. Θεαιτ. 173Α· ἴδε ἐν λ. θέω I. 2, **τρέχω** II. 2· — καθόλου, ἀγών, ἅμιλλα, πλαγᾶν δρόμος, δηλ. ἀγὼν πυγμῆς, Πίνδ. I. 5. (4). 76. **3)** τὸ μῆκος τοῦ σταδίου, στάδιον, Σοφ. Ἠλ. 713 καὶ 748· ἀλλ' αὐτόθι 691, φαίνεται ὅτι κεῖται καθόλου ἐπὶ τοῦ πεντάθλου, πρβλ. τρέχω· ἐν τῷ δευτέρῳ δρ. Ἀριστ. Ἱστ. Ζ. 6. 29, 7. **II.** τόπος κατάλληλος πρὸς τρέξιμον, δρόμοι εὐρέες, τόποι, πεδία δι' ἀγέλας βοῶν, Ὀδ. Δ. 605· ἴδε Gladstone Hom. Stud. 3. 418. **2)** ἀγὼν δρόμου, Ἡρόδ. 6. 126· δημόσιος περίπατος, Λατ. ambulatio, Εὐρ. Ἀνδρ. 599, Εὔπολ. Ἀστρατ. 3, Πλάτ. Θεαιτ. 144C· ὁ κατάστεγος δρ., Λατ. ambulatio tecta, διάδρομος ὑπόστεγος, Πλάτ. Εὐθυδ. 273Α· δρ. ξυστὸς Ἀριστίας παρὰ Πολυδ. Θ', 43· δύ' ἢ τρεῖς δρόμους περιεληλυθότε, ἀφ' οὗ περιεπάτησαν δύο ἢ τρεῖς γύρους εἰς τὸν διάδρομον, Πλάτ. ἔνθ' ἀνωτ.·— παροιμ., ἔξω δρόμου ἢ ἐκτὸς δρόμου φέρεσθαι, Λατ. extra oleas vagari, πλανῶμαι ἐκτὸς τοῦ δρόμου, δηλ. ἐκτὸς τοῦ προκειμένου ζητήματος, Αἰσχύλ. Πρ. 884, Πλάτ. Κρατ. 414Β· ἐκ δρόμου πεσεῖν Αἰσχύλ. Ἀγ. 1245· οὐδὲν ἔστ' ἔξω δρόμου, δὲν εἶναι ἐκτὸς τοῦ προκειμένου, ὁ αὐτ. Χο. 514.

δρόμων, ωνος, ὁ, ἐλαφρὸν πλοιάριον, ταχυναυτούσας ὁλκάδας, ἃς δρόμωνας εἴωθεν ὀνομάζειν τὸ πλῆθος Θεοφύλακτ. Σιμοκ. Ἱστορ. σ. 178, Βυζ. **II.** εἶδός τι καρκίνου, ὡς ὁ **δρομίας**, Ἡσύχ.

δροσαλλίς, ίδος, ἡ, εἶδος ἀμπέλου, Γεωπ. 5. 17, 3.

δροσερός, ά, όν, (δρόσος) πλήρης δρόσου, αἰθήρ, πηγαὶ Εὐρ. Βάκχ. 865, Ἑλ. 1335· νεφέλαι Ἀριστοφ. Νεφ. 338· δροσερός, πρόσφατος, λάχανα ὁ αὐτ. Πλ. 298·— τρυφερός, μαλακός, στόμα Ἀνθ. Π. 5. 244.

δροσίζω, ῥαίνω δρόσῳ, ῥαντίζω, Ἀριστοφ. Βατρ. 1312, Βάβρ. 12. 15.—Παθ., δεδροσισμένον νέφος, πλῆρες δρόσου, Διογ. Λ. 7.152. **II.** ἀμετάβ., σχηματίζω δρόσον, Ἀριστ. Προβλ. 25. 21.

δρόσιμος, ον, = τῷ ἑπομ., Πλούτ. 2. 918Α.

δροσινός, ή, όν, = δροσερός, Ἀνθ. Π. 9. 570.

δροσοβολέω, χύνω δρόσον, ὁ ἀὴρ δροσοβολεῖ Πλούτ. 2. 659Β.

δροσο-βόλος, ον, ῥίπτων δρόσον, δροσερός, χῶραι Θεοφρ. Αἰτ. Φυτ. 3. 24, 4· ἀὴρ αὐτόθι 6. 18, 3.

δροσοειδής, ές, = δροσώδης, Παλλάδ. Λαυσιακ. σ. 999.— Ἐπίρρ. -ῶς, Βασίλ. 1.173 (Migne), Γρ. Νύσσ. 1. 312.

δροσο-είμων, ον, δρόσον ἐνδεδυμένος, νεφέλαι Ὀρφ. Ὕμν. 20. 6., 50. 6.

δροσόεις, εσσα, εν, ποιητ. ἀντὶ δροσερός, Εὐρ. Τρῳ. 833, κτλ.

δροσό-μελι, ιτος, τό, ἀερόμελι Γαλην. 6. 399.

δροσόομαι, παθ., εἶμαι ὑγρὸς ἐκ τῆς δρόσου, Ἀνακρεοντ. 57.12.

δροσο-παγής, ές, δροσόπηκτος, δρόσῳ τρεφόμενος ἢ τραφείς, Φίλων 7, Θεαμ. 1.

δροσο-πάχνη, ἡ, δρόσος μετὰ πάχνης μεμιγμένη, Ἀριστ. π. Κόσμ. 4, 5.

δρόσος, ἡ· (πρβλ. Σανσκρ. ras-as (sucus), Λατ. ros, Σλαυ. rosa· ἴδε ὡσαύτως **ἔρση**)·—«δροσιά», Ἡρόδ. 2. 68, Πλάτ. Τιμ. 59Ε· καὶ ἐν τῷ πληθ., Αἰσχύλ. Ἀγ. 336, Σοφ. Αἴ. 1208, κτλ.·— ἡ Ὁμηρικὴ λέξις εἶνε **ἔρση, ἐέρση**. **2)** παρὰ ποιηταῖς, ὕδωρ, ποντία δρ. Αἰσχύλ. Εὐμ. 904· δρόσῳ ἐναλίᾳ, θαλασσίᾳ, Εὐρ. Ι. Τ. 255, 1192· ποταμίᾳ δρ. ὁ αὐτ. Ἱππ. 127· ποταμίαισι δρόσοις αὐτόθι 77· ἐπὶ κρηναίαισι δρόσοισι ὁ αὐτ. Ι. Α. 182· ὡσαύτως μόνον δρόσος, Ἀχελῴου δρ. ὁ αὐτ. Ἀνδρ. 167· καθαραῖς δρόσοις ὁ αὐτ. Ἴωνι 97· ἐκ ποταμῶν δρόσον ἄρατε Ἀριστοφ. Βατρ. 1339· πρβλ. τὸ τοῦ Ὁρατίου rore puro Castaliae. **3)** ἐπὶ ἄλλων ὑγρῶν ἢ ποτῶν, δρ. ἀμπέλου Πίνδ. Ο. 7. 2· δρ. φονία Αἰσχύλ. Ἀγ. 1390, κτλ.·— μεταφ., δρόσος ὕμνων Πίνδ. Π. 5. 134· πρβλ. **ἄρδω**. **II.** ὡς τὸ ἔρση II, μεταφ., τὰ νεογνὰ τῶν ζώων, Αἰσχύλ. Ἀγ. 141.

δροσο-φόρος, ον, ὁ φέρων δρόσον, δροσερός, Θ. Στουδ. σ. 740 (Migne).

δροσώδης, ες, ὅμοιος δρόσῳ, δροσερός, ὑγρός, Φερεκρ. Μεταλλ. 2, κτλ.· δ. ὕδατος νοτίς, πηγή, Εὐρ. Βάκχ. 704.

δρύακες, αἱ, (δρύες) = **δρύοχοι**, Ἡσύχ.

δρυάριον, τό, ὑποκορ. τοῦ **δρῦς**, Εὐστ. 1715. 52.

Δρυάς, άδος, ἡ, (δρῦς) νύμφη, ἧς ἡ ζωὴ συνεδέετο πρὸς τὴν τοῦ δένδρου, οὗ προστάτις ἦτο, Πλούτ. Καίσ. 9., 2. 711Ε· πρβλ. **Ἁμαδρυάς**.

δρυηκόπος, ον, (κόπτω) ξυλοκόπος, Λυκόφρ. 1378.

δρυΐδης, ου, ὁ, ἱερεὺς τῶν Γαλατῶν, Ἀριστ. Ἀποσπ. 30.

δρυΐνας, ὁ, ὄφις διαμένων ἐντὸς τῶν κοιλωμάτων πεπαλαιωμένων δρυῶν, Νίκ. Θ. 411.

δρύϊνος, η, ον, (δρῦς) ἐκ δρυός, Ὀδ. Φ. 43, Ἱππ. Ἀγμ. 761, Εὐρ. Βάκχ. 1103, κτλ.· δρ. πῦρ, πῦρ ἐκ ξύλων δρυός, Θεόκρ. 9. 19· μέλι δρ. Ἀνθ. Π. 9. 72· ὁ δρ. στέφανος Συλλ. Ἐπιγρ. 4040 VI.

δρυϊνών, ῶνος, δάσος δρυῶν, Ἐπιγρ. Ἀθην. CIA. I, Supplem. 274.

δρυΐτης, ου, ὁ, παρὰ Θεοφρ. Αἰτ. Φ. 1. 2, 2, λέγεται ὅτι εἶνε εἶδος κυπαρίσσου. **II.** δρ. λίθος, πολύτιμός τις λίθος, πρβλ. Πλίν. 37. 11.

δρύ-καρπον, τό, βάλανος ἢ ὅμοιός τις καρπός, Λυκόφρ. 83, Εὐστ. 773. 49, ἐν τῷ πληθ.

δρυ-κολάπτης, ἴδε ἐν λ. **δρυοκολάπτης**.

δρυμάζω ἢ **-σσω,** = **δρύπτω**· μέλλ. **δρυμάξω**, Κωμικ. ἐν Meineke 5. 123.

δρυμίς, ίδος, ἡ, = **δρυάς**, δρ. Νύμφαι Ἀλεξ. ἐν Ἀδήλ. 69.

δρῡμόθεν, ἐπίρρ., ἐκ τοῦ **δρυμοῦ**, Γρηγ. Ναζ. 3. 984.

δρῡμόνιος, α, ον, ὁ διατρίβων εἰς τὰ δάση, Ὀρφ. Ὕμν. 35.12.

δρῡμός, ὁ, (δρῦς) ἄλσος ἐκ δρυῶν· ἐν γένει, δάσος. Ὁ Ὅμηρος μεταχειρίζεται τὸν ἑτερογενῆ πληθ. **δρυμά**, Ἰλ. Λ. 118, Ὀδ. Κ. 150, 197, 251· ἀλλ' αἰτ. πληθ. **δρυμοὺς** ἐν Αἰσχύλ. Ἀποσπ. 305. 10, Πλουτ. Περικλ. καὶ Φαβ. 1·— ὁ ἑνικ. ἀπαντᾷ ἐν Σοφ. Ο. Τ. 1399, Εὐρ. Ἱππ. 1127. [Ἐν τῷ ἑνικῷ ἀείποτε **δρῡμός**· ἀλλ' ἐν τῷ πληθ. ὁ Ὅμηρ. ἔχει ἀείποτε **δρῡμά**· **δρῡμά** δὲ μόνον παρὰ μεταγ. Ἐπικοῖς, Herm. Ὀρφ. Ἀργ. 681].

δρυμοτομέω, κόπτω ξύλα, Ν. Χων. ἐν Μεσ. βιβλ. Σάθ. τ. Α', σ. 122.

δρῡμο-χαρής, ές, εὑρίσκων εὐχαρίστησιν εἰς τὰ δάση, ἐπίθ. τῶν νυμφῶν, Ὀρφ. Ὕμν. 50. 12.

δρῡμώδης, ες, (εἶδος) δασώδης, Διόδ. 3. 26.

δρῡμών, ῶνος, ὁ, = **δρυμός**, Βάβρ. 45.11, Ὀππ. Κ. 2.78.

δρυο-βάλανος, ἡ, βάλανος δρυός, «βαλανίδι», Στράβων 734.

δρυο-βαφής, ές, ὁ διὰ τοῦ φλοιοῦ τῆς δρυὸς βεβαμμένος, Ἡσύχ.

δρυο-γόνος, ον, ὁ παράγων δρῦς, κεκαλυμμένος μὲ δρῦς, ὄρη Ἀριστοφ. Θεσμ. 114.

δρυόεις, εσσα, εν, πλήρης δρυῶν, δασώδης, Στράβ. 626.

δρυο-κοίτης, ου, ὁ, ὁ ἐπὶ τῆς δρυὸς οἰκῶν, διαμένων, τέττιξ Ἀνθ. Π. 7. 190.

δρυο-κολάπτης, ου, ὁ, «ξυλοφαγᾶς», οὗ ὁ Ἀριστ. τρία εἴδη διακρίνει (Picus viridis, P. major καὶ minor), Ἱ. Ζ. 8. 3, 7, πρβλ. 9. 9, 1·— ὡσαύτως **δρυκολάπτης**, Ἀριστοφ. Ὄρν. 480, 979, Στράβ.· παρ' Ἡσυχ. **δρυοκόλαψ** καὶ **δρυοκόπος** ἐν Ἀριστ. Ζ. Μ. 3. 1, 15.

δρυο-παγής, ές, ἐκ ξύλων δρυὸς κατεσκευασμένος, Σοφ. Ἀποσπ. 629, πρβλ. Αἰσχύλ. Ἱκέτ. 743.

δρυο-πτερίς, ὁ, πτερὶς φυομένη ἐπὶ δρυῶν, Διοσκ. 4. 189.

δρυοτομία, ἡ, τὸ κλάδευμα τῶν δένδρων, κεκομμένα ξύλα πρὸς καῦσιν, Πλάτ. Νόμ. 678D.

δρυοτομική (ἐνν. τέχνη), ἡ, ἡ τέχνη τοῦ ξυλοκόπου, τοῦ ξυλοσχίστου, Πλάτ. Πολιτ. 288D.

δρυο-τόμος, ὁ, ξυλοκόπος, ξυλοσχίστης, Αἴσωπ., κτλ. [δρῡ-ἐν ἄρσει, Κόϊντ. Σμ. 1. 250].—Πρβλ. Κόντ. Γλωσσ. Παρατ. σ 319.

δρύοχοι, οἱ, (δρῦς, ἔχω) τὰ ὑποστηρίγματα ἐφ' ὧν στηρίζεται ἡ τρόπις ναυπηγουμένου πλοίου, Ὀδ. Τ. 574, — ἔνθα οἱ πελέκεις ἐμπεπηγμένοι κατὰ γραμμὴν παρομοιάζονται πρὸς τοὺς δρυόχους, πρβλ. Εὐστ. καὶ Σχολ. ἐν τόπῳ, κατὰ δρυόχων ἐπάγη σανὶς Ἐπίγραμ. παρ' Ἀθην. 209C·— μεταγεν., ἐκ δρυόχων ναυπηγεῖσθαι σκάφη, καινὰ ἐξ ὑπαρχῆς, Πολύβ. 1. 38, 5· δρυόχους ἐπεβάλλετο νηὸς Ἀπολλών. Ῥόδ. Α. 723· οὕτω, δρυόχους τιθέναι δράματος, καταθέτω, βάλλω τὴν τρόπιν (βάσιν), δηλ. ἄρχομαι νέου δράματος, Ἀριστοφ. Θεσμ. 52· καὶ παροιμ., οἷον ἐκ δρυόχων Πλάτ. Τιμ. 81Β, πρβλ. Πλούτ. 2. 231Ε·— ὁ Πολυδ. Α', 85 ἀναφέρει τὸ ἑνικ. δρύοχον. **II.** = **δρυμά**, δάση, Ἀνθ. Π. 6. 16· καὶ οὕτως ὁ Εὐρ. Ἠλ. 1163, κατὰ ἑτερογενῆ πληθ. **δρύοχα**.

δρύοψ, οπος, εἶδος ξυλοφαγᾶ διαφόρου τοῦ γνωστοῦ δρυοκολάπτου, Ἀριστοφ. Ὄρν. 304.

δρυπετής, ἴδε **δρυπεπής**.

δρῡ-πεπής, ές, (πέπτω) ὡριμασμένος ἐπὶ τοῦ δένδρου, ὥριμος, ἐλᾶαι Χιωνίδ. Πτωχ. 4, «γρυπάδες» Εὔπολ. ἐν Ἀδήλ. 48· αἱ δρυπεπεῖς [ἐνν. ἰσχάδες] Ἀριστοφ. Λυσ. 564, Καλλίας ἐν Ἀδήλ. 2·— διά τινος κωμικῆς μεταφορᾶς, μᾶζαι δρ. Κρατῖν. Πλουτ. 2, Τηλεκλείδ. ἐν Ἀδήλ. 74· δρ. ἑταῖραι Ἀριστοφ. Ἀποσπ. 190.— Ἀλλὰ **δρυπετής** (ἐκ √ΠΕΤ, πίπτω) ἕτοιμος νὰ πέσῃ, παραπολὺ ὥριμος, ἀπαντᾷ

συνεχῶς ὡς διάφ. γραφή· καὶ οὗτος ὁ τύπος ὑποστηριζόμενος καὶ διὰ τῆς ἀναλογίας τοῦ χαμαιπετής προτιμᾶται ὑπὸ τοῦ Δινδ. ἐν τῷ Θησαυρ. τοῦ Στεφ. ἐν λ.· πρβλ. δρύππα.

δρύπεψ, επος, αἰτιατ. δρύπεπα, = δρυπεπής, ἐπὶ τοῦ δένδρου πεπανθείς, ὥριμος, τὴν ἀλίπαστον δρύπεπα, Ἀνθολ. 6, 191.

δρυπίς, ίδος, ἡ, (δρύπτω) εἶδος ἀκάνθης, Θεόφρ. Ἱ.Φ.1.10, 6.

δρύππα, ἡ, Λατ. druppa, ἐλαία ὑπὲρ τὸ δέον ὥριμος, «θρούμπα», Ἀνθ. Π. 6. 299, Ἀθήν. 56Α· πρβλ. δρυψογέρων.

δρύπτω, Εὐρ. Ἠλ.150· μέλλ. δρύψω (κατα-) Ἀνθ. Π. 5. 43· ἀόρ. ἔδρυψα, Ἐπ. δρύψα Ἰλ., πρβλ. ἀποδρύφω.—Μέσ., Ἡσ., Εὐρ.· ἀόρ. δρυψάμενος Ὀδ.—Παθ., Ἀνθ. Π. 7. 2· ἀόρ. ἐδρύφθην Βάβρ. 36. 10· ὑπερσυντ. δέδρυπτο Κόϊντ. Σμ. 14. 391· πρβλ. ἀμφι-, ἀπο-δρύπτω. (Ἐκ τῆς √ΔΡΥΦ, ἥτις φαίνεται ἐν τῷ συνθέτῳ ἀπο-δρύφω, καὶ ἐν τῷ δρυφή, δρυφάζω). Ξέω. «τσουγγρανίζω», σπαράττω, σχίζω, βραχίονα δουρὸς ἀκωκὴ δρύψ' ἀπὸ μυώνων Ἰλ. Π. 324· καὶ ἐν τῷ μέσ., δρυψαμένω δ' ὀνύχεσσι παρειάς ἀμφί τε δειράς, σπαράττοντες ἀλλήλων.., Ὀδ. Β. 153·— κατὰ τὸ πλεῖστον εἰς ἔνδειξιν πένθους, δρύπτειν κάρα Εὐρ. Ἠλ. 150· ἑκάτερθε παρειάς Ἀπολλ. Ῥόδ. Γ. 672· καὶ ἐν τῷ μέσ., δρύπτεσθαι παρειάν, σπαράττω, κατασχίζω τὴν παρειάν μου, Λατ. genas lacerare, Εὐρ. Ἑκ. 655· καὶ οὕτως ἄνευ τοῦ παρειάν, Ξεν. Κύρ. 3.1, 13· πρβλ. καταδρύπτω.

δρῦς, ἡ, (ὡσαύτως ὁ, κατὰ τὸν Σχολ. Ἀριστοφ. Νεφ. 401, καὶ παρὰ μεταγεν.)· γεν. δρυός· αἰτ. δρῦν, = δρύα μόνον παρὰ Κοΐντ. Σμ. 3. 280· ὀνομ. καὶ αἰτ. πληθ. δρῦς, ἀλλ' ὡσαύτως δρύες, δρύας, Ἰλ. Μ. 132, Αἰσχύλ. Πρ. 832, Σοφ. Ἀποσπ. 354· γεν. δρυῶν Ἡρόδ.7. 218. [ῡ, πλὴν ἐν τοῖς δρῦς, δρῦν· ἀλλὰ γεν. δρῠὸς ἐν ἀρχῇ στίχου, Ἡσ. Ἔργ. κ. Ἡμ. 434]. (Ἐκ τῆς √ΔΡΥ παράγονται ὡσαύτως τὰ δρυ-μός, δρυ-μά, δέν-δρον, δρί-α, δόρ-υ (δουρός), πρβλ. Σανσκρ. dru-s, dru-mas (arbor), dâr-u (lignum), Ζενδ. dru (lignum), Γοτθικ. triu (ξύλον), Παλαιο-Σκανδιν. tré, Ἀγγλο-Σαξον. treow (Ἀγγλ. tree), κτλ.). Κατ' ἀρχάς, πᾶν δένδρον (δρῦν ἐκάλουν οἱ παλαιοὶ .. πᾶν δένδρον Σχόλ. Ἰλ. Λ. 86, ἴδε κατωτ.), ἀλλὰ συνήθως τὴν δρῦν, Λατ. quercus, Ὅμ., κτλ.· ἥτις περιγράφεται ὡς ὑψίκομος Ἰλ. Ξ. 398, κτλ.· ὑψικάρηνος Μ.132· ἐν χρήσει πρὸς ναυπηγίαν (πρβλ. δρύοχοι), Ν 389 κέξ.· ἐπίσημος διὰ τὴν διάρκειαν αὐτῆς, Ψ. 328· ἱερὰ δὲ τοῦ Διός, ὅστις ἔδιδε τοὺς χρησμοὺς διὰ τῶν δρυῶν τῆς Δωδώνης. Ὀδ. Ξ. 328· αἱ προσήγοροι δρύες Αἰσχύλ. Πρ. 832· πολύγλωσσος δρῦς Σοφ. Τρ. 1168, πρβλ. Πλάτ. Φαῖδρ. 275Β, καὶ ἴδε φηγός·— παροιμ., οὐ γὰρ ἀπὸ δρυός ἐσσι .. οὐδ' ἀπὸ πέτρης, δὲν ἐφύτρωσας ἀπὸ τὰ δάση ἢ τοὺς βράχους, ἀλλ' ἔχεις γονεῖς καὶ πατρίδα, Ὀδ. Τ. 163, πρβλ. Πλάτ. Ἀπολ. 34D, Πολ. 544D·— ἀλλά. οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης .. ὀαριζέμεναι, δὲν εἶναι τώρα καιρὸς νὰ ὁμιλῶμεν καθ' ἡσυχίαν ἀπὸ δένδρου ἢ βράχου ὡς ἐρασταί, Ἰλ. Χ. 126· ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην; πρὸς τί ὅλα ταῦτα περὶ δένδρων καὶ βράχων (δηλ. περὶ πραγμάτων μεθ' ὧν οὐδεμίαν ἔχομεν σχέσιν); Ἡσ. Θ. 35 (καὶ ὁ Göttling δίδει παρομοίαν ἑρμηνείαν εἰς τὸ τελευταῖον μνημονευθὲν χωρίον τῆς Ἰλ.). **II.** ἐπὶ ἄλλων δένδρων, πίειρα δρῦς, τὸ ῥητινῶδες ξύλον (τῆς πεύκης), Σοφ. Τρ. 763 ἐπὶ τῆς ἐλαίας, Εὐρ. Κύκλ. 615, πρβλ. 455· δρῦς θαλασσία, = ἁλίφλοιος Meineke Κωμ. Ἀποσπ. 2. 428. **III.** μεταφ., ἐξησθενωμένος γέρων, ὡς τὸ γεράνδρυον, Ἀνθ. Π. 6. 254, Ἀρτεμ. 2. 25 πρβλ. τοῦ Ὁρατίου aridae quercus, Ὀδ. Δ. 13, 9.

δρυ-τόμος, ον, ποιητ. ἀντὶ δρυοτόμος, Ἰλ. Λ. 86· ἀλλὰ δρυ- ἐν ἄρσει, Κόϊντ. Σμ. 9.163, 453., 13. 56.

δρυφάζω, = δρύπτω, Ἡσύχ.

δρύφακτος, ὁ, φραγμός τις κιγκλιδωτὸς ἢ δικτυωτὸν διαχώρισμα χρησιμεῦον ὡς περίφραγμα τῶν δικαστηρίων, τοῦ βουλευτηρίου, κτλ., Ἀριστοφ. Σφηξ. 830· συνήθ. κατὰ πληθ., ὡς τὸ Λατ. cancelli, ὑπερεπήδων τοὺς δρ. ὁ αὐτ. Ἱππ. 675· ὑπὸ τοῖς δρ. ὁ αὐτ. Σφηξ. 386· ἐπὶ τοῖς δρ. αὐτόθι 552, Ξεν. Ἑλλ. 2. 3, 55· οὐδ. πληθ. δρύφακτα ἀναφέρεται ὑπὸ τοῦ Δινδ. ἐν Στεφ. Θησαυρ., ἀλλὰ τὸ ἀρσενικὸν ἀπαντᾷ παρ' Ἀριστοφ. Ἱππ. καὶ Πολυβ. (ἴδε κατωτ.), καὶ ἀλλαχοῦ τὸ γένος δὲν δύναται νὰ ὁρισθῇ· πρβλ. κιγκλίς. **2)** καθ' ἑνικὸν καθόλου, κιγκλίδες, Πολύβ. 1. 22, 6 καὶ 10. (Ὁ Σχολ. τοῦ Ἀριστοφ. Ἱππ. ἔνθ' ἀνωτ. ἑρμηνεύει τὴν λέξιν διὰ τοῦ ὁ ἐκ δρυὸς φραγμός, ὥστε ἀρχικῶς θὰ ἦτο δρυό-φρακτος).

δρυφακτόω, περιφράττω, περικλείω, Πολύβ. 8. 6, 4.

δρυφάκτωμα, τό, περίφραγμα, Στράβων 629.

δρυφάς, άδος, ἡ, = δρυφή, Ἡσύχ.

δρυφάσσω, μέλλ. -ξω, περιφράττω, φυλάττω διὰ φραγμοῦ, Λυκόφρων 758.

δρυφή [ῠ], ἡ, (δρύπτω) ἀμυχή, δρύφος, ὁ, «τζουγγράνισμα», Ἡσύχ.

δρύψελα, τά, ξύσματα, τρίμματα, θρύψαλα, Παρθέν. ἐν τῷ Μ. Ἐτυμ. 288. 58.

δρύψια, τά, = τῷ προηγ., δρ. τυρῶν Ἀνθ. Π. 6. 299.

δρυψο-γέρων, ὁ, (πρβλ. δρύππα) γέρων σεσαθρωμένος, κατατετριμμένος, «γεροκολασμένος», δρυψογέροντες, «οἱ ἄτοποι πρεσβῦται καὶ οἱονεὶ ἄτιμοι» Ἡσύχ.·— δρυψό-παις, ὁ, «παῖς κατατετριμμένος» Ἐ. Μ. Ἡσύχ.

δρώοιμι. Ἐπ. εὐκτ. τοῦ ἐνεργ. ἐνεστ. τοῦ δράω.

δρωπακίζω, μαδῶ τὰς τρίχας διὰ πεπισσωμένου ἐμπλάστρου, Λουκ. Δημών. 50· δρωπακισμός, ὁ, ἡ τοιαύτη τῶν τριχῶν ἀπόσπασις· μάδημα τῶν τριχῶν διὰ δρώπακος, πίττωσις Διοσκ.· δρωπακιστός, ή. όν, χρησιμεύων πρὸς μάδησιν τῶν τριχῶν, ψιλωτικός, Γαλην. 12, 103.

δρωπακίστρια, ἡ, = παρατίλτρια, Φώτ., Θωμ. Μ.

δρῶπαξ, ακος, ὁ, (δρέπω) ἔμπλαστρον ἐκ πίσσης, Συνέσ.75D, Γαλην. [ᾰ ἐν τῇ γενικῇ, Μαρτιάλ. 3. 74., 10. 65).

δρώπτω, = διακόπτω ἢ διασκοπῶ, Αἰσχύλ. (Ἀποσπ. 272) παρ' Ἡσυχ.· καὶ δρωπάζω ἀναφέρεται ἐν Α. Β. 549· πρβλ. δράω, δρῶ (Β).

δρώψ, ωπός, ὁ, = ἄνθρωπος, Κλήμ. Ἀλ. Στρ. 5, σ. 674, Ἡσύχ.

δύα, Δωρ. ἀντὶ δύη.

δυαδικός, ή, όν, (δύο) ἀνήκων ἢ ἁρμόζων εἰς τὸν ἀριθμὸν δύο, Πλούτ. 2. 1025C.—Ἐπίρρ., δυαδικῶς Πρόκλ. εἰς Παρμ. Πλάτ. σ. 915 (Stallb.) Τίμ. 208 (Βασιλ.).

δυάζω, κάμνω δύο, ζευγαρώνω, Εὐστ. Πονημ. 250. 78· παθ., ζευγαρώνομαι, γίνομαι δύο μετ' ἄλλου, ἀντίθ. μονὰξ ζῆν, αὐτόθι 81. **2)** ἐκφέρω τι κατὰ δυϊκὸν ἀριθμόν, Εὐστ. Ἰλ. 47. 28. **3)** παθ., ἔχω τὴν ἐντύπωσιν ὅτι πρᾶγμά τι εἶναι διπλοῦν, βλέπω διπλᾶ, πάσχω διπλωπίαν, Σέξτ. Ἐμπ. Μ. 7. 193. **II.** διαιρῶ εἰς δύο, διχοτομῶ, Θεολ. Ἀριθμ. σ.12.—Πρβλ. Κόντον ἐν Ἀθηνᾶς τ. Α', σ. 98.

δυάκις, ἐπίρρ. = δίς (πρβλ. τρίς, τριάκις), Ἀριστοφ. Ἀποσπ. 607.— Πρβλ. Κόντον ἐν Ἀθηνᾶς τ. Α', σ. 45.

δυ-ανερικός, ή, όν, = τῷ Λατ. duumviralis, Συλλ. Ἐπιγρ. 3979.

δυάς, άδος, ἡ, ὁ ἀριθμὸς δύο, Πλάτ. Φαίδωνι 101C, Παρμ. 149C, Ἀριστ., κτλ.

δυασμός, ὁ, ἡ εἰς δύο διαίρεσις, Εὐστ. Πονημ. 205. 20.

δυάω, (δύη) βυθίζω εἰς δυστυχίαν, κακοδαιμονίαν, δυόωσιν .. ἀνθρώπους Ὀδ. Υ. 195.

δυγός, Δωρ. ἀντὶ ζυγός, Ε. Μ. 316. 56· Αἰολ., αὐτόθι 466. 36.

δυερός, ά, όν, ἄθλιος, δυστυχής, δυεροῦ θανάτοιο τυχεῖν Ἐπιγράμμ. Ἑλλην.153, πρβλ. Μάξ. π. κατ. 65, 182.

δύη, ἡ, Δωρ. δύα, ἀλλ' οὐχὶ Ἀττ. (ἴδε ἐν λ. δαίω (Α), πρβλ. δυάω, ὀδύνη)·— ποιητ. λέξις, δυστυχία, ἀθλιότης, ἀγωνία, Ὀδ. Ξ. 215, καὶ Τραγ.· πῆμα δύης, βάρος ὀδύνης, δυστυχίας, Ὀδ. Ξ. 338· πέλαγος ἀτηρᾶς δύης Αἰσχύλ. Πρ. 746· γενναία δύη Σοφ. Αἴ. 938· πληθ., πημοναῖς δύαις τε Αἰσχύλ. Πρ. 512, πρβλ. 179, 525, κτλ.

δυη-πάθής, ές, ὁ πολλὰ ὑποφέρων, Ἀπολλών. Ῥόδ. Δ. 1165, Ὀππ. Ἁλ. 2. 436·— καὶ δυήπαθος, ον, Ὕμν. Ὁμ. εἰς Ἑρμ. 486·— ἐντεῦθεν δυηπαθείη, ἡ, ἀθλιότης, δυστυχία, Ἀπολλ. Ῥόδ. Δ. 1395, Ἀνθ. Πλαν.113· καὶ δυηπάθεια, ἡ, Ἐτυμ. Μ. 291.

δυθμή, Δωρ. ἀντὶ δυσμή, ὃ ἴδε ἐν τέλ.

δυϊκός, ή, όν, = δυαδικός· τὸ δυϊκόν, ὁ δυϊκὸς ἀριθμός, Ἀπολλ. π. Συντ. 297.—Ἐπίρρ. -κῶς, = διττῶς, Σουΐδ. **2)** κατὰ δυϊκὸν ἀριθμόν, Γραμμ.

δύϊος, α, ον, = δυερός, Αἰσχύλ. Ἱκέτ. 842.

Δυκτινναῖος (= Δικτυνναῖος), ὄνομα μηνός, Ἐπιγρ. Κρητῶν ἐν Τέῳ, L. et W. 686.

δύμεναι [ῠ], Ἐπ. ἀπαρ. ἐνεργ. ἀορ. β' τοῦ δύω, Ἰλ.

δύναμαι, ἀποθ.· κλίνεται ἐν τῷ ἐνεστ. καὶ παρατ. κατὰ τὸ ἵσταμαι· β' ἑνικ. δύνασαι Ἰλ. Α. 393, Ὀδ. Δ. 374, Σοφ. Αἴ. 1164 (ἐν ἀναπαιστ.), Ἀριστοφ. Νεφ. 811 (ἐν χοριαμβ.), Ξεν. Ἀν. 7. 7, 8, κτλ., ἀλλ' ἐν τῇ παλαιᾷ Ἀτθίδι καὶ δύνᾳ Σοφ. Φ. 798, Εὐρ. Ἑκ. 253, Ἀνδρ. 239· Ἰων. δύνῃ, ὅπερ χρησιμεύει ὡσαύτως ὡς ὑποτακτ. παρὰ τοῖς δοκίμοις, Πόρσ. Ἑκ. ἔνθ' ἀνωτ.· Ἰων. γ' πληθ. δυνέαται Ἡρόδ.· ὑποτακτ. δύνωμαι, Ἰων. β' ἑνικ. δύνηαι Ἰλ. Ζ. 229· παρατ. β' ἑνικ. ἐδύνω Ὕμν. Ὁμ. εἰς Ἑρμ. 405, Ξεν. Ἀν.1. 6, 7· Ἰων. γ' πληθ. ἐδυνέατο Ἡρόδ.·— μέλλ. δυνήσομαι Ἰλ., Ἀττ.· Δωρ. δυνᾶσοῦμαι Ἀρχύτ. παρὰ Στοβ. Ἀνθ. 46, 61· μεταγεν. ὡσαύτως δυνηθήσομαι Δίων Κ., δεδυνήσομαι Σώπατ. ἐν Walz Ῥήτ. 8. σ. 97·—ἀόρ. ἐδυνησάμην Ἰλ. Ξ. 33, Ἐπιχ. δυν- Ε. 621, κτλ., ἀλλ' οὐδέποτε παρὰ τοῖς δοκίμοις τῶν Ἀττ. (ἐπειδὴ τὸ τοῦ Δημ. 445.1 ἔχει διορθωθῆ ἐκ χφων)· ὁ παθ. τύπος ἐδυνάσθην, Ἐπ. δυνάσθην, κατὰ τὸ πλεῖστον ἐν χρήσει παρ' Ὁμ. καὶ Ἡροδ. (ὡσαύτως ἐν Ξεν. Ἀπομν.1. 2, 24, Ἀν. 7. 6, 20, κτλ.), ὁ δὲ αὐστηρῶς Ἀττ. τύπος εἶναι ἐδυνήθην Σοφ. Αἴ. 1067, Ο. Τ. 1212, Εὐρ. Ἴωνι 867, Δημ. 540. 25., 574. 28·— πρκμ. δεδύνημαι Δείναρχ. 106. 35, Δημ. 48. 16·— ῥημ. ἐπίθ. δυνατός.—Ἡ διπλῆ αὔξησις ἠδυνάμην, ἠδυνήθην ἀπαντᾷ ἐν χειρογράφοις τοῦ Ἡροδ. καὶ πολλῶν Ἀττ. συγγραφέων καὶ ἐνίοτε ἀπαιτεῖται ὑπὸ τοῦ μέτρου, ἠδύνω Φιλιππίδ. Συμπλ.1, ἠδυνήθην Αἰσχύλ. Πρ. 206. Ἐν ταῖς ἀττικ. ἐπιγρ. ἡ αὔξησις τοῦ δύναμαι γίνεται διὰ τοῦ ε, μόνον δὲ ἀπὸ τοῦ 300 π. Χ. διὰ τοῦ η, Meisterh. σ. 169. [ῠ, πλὴν ἐν τῷ δυνάμενοιο Ὀδ. Λ. 276, Δ. 414, Ἐπ.

'Ομ. 15. 1, καὶ ἐν τῷ κυρ. ὀνόματι **Δυναμένη**, χάριν τοῦ μέτρου].

I. εἶμαι ἱκανός, δυνατός, ἔχω τὴν δύναμιν νὰ πράξω τι, μετ' ἀπαρ. ἐνεστ., καὶ ἀορ. "Ομ., κτλ.· ἡ ἀπαρέμφ. τοῦ μέλλοντος, σπανίως ἀπαντῶσα παρὰ δοκίμοις, εἶναι πιθανῶς σφάλμα (πείσειν ἀντὶ πεῖθειν) ἐν Σοφ. Φ. 1394· — ὁπόταν δὲ κεῖται ἀπολύτως, δυνάμεθα εὐκόλως νὰ ἐννοήσωμεν ἀπαρέμφατον ἐκ τῶν συμφραζομένων, εἰ δύνασαί γε, ἐὰν τοὐλάχιστον δύνασαι [ἐνν. περισχέσθαι] 'Ιλ. Α. 393· ὅσσον ... δύναμαι χερσίν τε ποσίν τε [ἐνν. ποιεῖν τι] 'Ιλ. Υ. 360· Ζεὺς δύναται ἅπαντα [ἐνν. ποιεῖν] 'Οδ. Δ. 237· οὕτω καί, μέγα δυνάμενος, λίαν ἰσχυρός, πανίσχυρος, 'Οδ. Α. 276, πρβλ. Λ. 414, 'Ηρόδ. 9. 9, κτλ.· μέγα δύναται, multum valet, Αἰσχύλ. Εὐμ. 950· δ. Διὸς ἄγχιστα ὁ αὐτ. 'Ικέτ. 1036· οἱ δυνάμενοι, ἄνδρες ἔχοντες δύναμιν, ἰσχύν, Εὐρ. 'Ορ. 889, Θουκ. 6. 39, κτλ.· δυνάμενος παρά τινι, ἔχων δύναμιν, ῥοπὴν παρά τινι, 'Ηρόδ. 7. 5, 'Ανδοκ. 32. 31, κτλ.· δύνασθαι ἐν τοῖς πρώτοις Θουκ. 4. 105· δύν. χρήμασι, τῷ σώματι Λυσ. 107. 26., 168. 26·—ὁ δυνάμενος, ὅστις δύναται νὰ διατηρήσῃ ἑαυτόν, ὁ αὐτ. 169. 19. **2)** ἐπὶ τοῦ ἠθικῶς δυνατοῦ, εἶμαι ἱκανός, τολμῶ ἢ ἀνέχομαι νὰ πράξω τι, κατὰ τὸ πλεῖστον μετ' ἀρνήσεως, οὐδὲ τελευτὴν ποιήσειν δύναται 'Οδ. Α. 250· σε .. οὐ δύναμαι προλιπεῖν Ν. 331, πρβλ. Σοφ. 'Αντ. 455· οὐκέτι ἐδύνατο βιοτεύειν Θουκ. 1. 130·— οὕτω Λατ. posse εἰς Βεργ. Αἰν. 9. 482, 'Ορ. 'Ωδ. 3. 11. 30. **3)** μετὰ τοῦ ὡς καὶ ὑπερθ., ὡς ἐδύναντο ἀδηλότατα Θουκ. 7. 50· ὡς δύναμαι μάλιστα Πλάτ. Πολ. 367Β· ὡς δύναιτο κάλλιστον ὁ αὐτ. Συμπ. 214C· ὡς ἂν δύνωμαι διὰ βραχυτάτων Δημ. 814. 4, κτλ.· ἢ ἁπλῶς, ὡς ἐδύνατο Ξεν. 'Αν. 2. 6, 2· οὕτω καί, ὅσους ἐδύνατο πλείστους ἀθροίσας Ξεν. 'Ελλ. 2. 2, 9· λαβεῖν .., οὓς ἂν σοφωτάτους δύνωμαι "Αλεξ. Συντρ. 1. **II.** ἰσοδυναμῶ, λογίζομαι ἢ εἶμαι ἰσοδύναμος πρός τι, «περνῶ ὡς ..», καὶ ταῦτα, **1)** ἐπὶ νομισμάτων, ἀξίζω, ἰσοδυναμῶ πρὸς .., μετ' αἰτ., ὁ σίγλος δύναται ἑπτὰ ὀβολοὺς Ξεν. 'Αν. 1. 5, 6, πρβλ. Δημ. 914. 11· ἀπολ., ἰσχύω, «περνῶ», Λουκ. Πένθ. 10. **2)** ἐπὶ ἀριθμοῦ, ἰσοδύναμος εἶμαι πρὸς .., τριηκόσιαι γενεαὶ δυνέαται μύρια ἔτεα 'Ηρόδ. 2. 142· λόγοι ἔργα δυνάμενοι, λόγοι ἰσοδυναμοῦντες πρὸς ἔργα, Θουκ. 6. 40. **3)** ἐπὶ λέξεων, σημαίνω, δηλῶ, ὡς τὸ Λατ. valere ἀντὶ τοῦ significare, 'Ηρόδ. 4. 110, 1 κ. ἀλλ.· ἴσον δύναται, Λατ. idem valet, ὁ αὐτ. 6. 86, 3, πρβλ. 2. 30., 4. 192, 'Αριστοφ. 'Αποσπ. 553· τὸ νεοδαμῶδες δύναται ἐλεύθερον εἶναι Θουκ. 7. 58· ταὐτὸν δ. 'Αριστ. Πολ. 5 11, 6·— ὡσαύτως, τείνω, χρησιμεύω, ἰσχύω πρός τι, «σημαίνω» τι, οὐδένα καιρὸν δύναται, δὲν χρησιμεύει διὰ τίποτε, δὲν ἰσχύει διὰ τίποτε, Εὐρ. Μηδ. 128, πρβλ. Πλάτ. Φιλήβ. 23D· τὸ τριβώνιον τί δύναται; 'Αριστοφ. Πλ. 842· τοῦτο δύνανται αἱ ἀγγελίαι, τοῦτο σημαίνουσιν αἱ ἀγγ., τόσην σημασίαν ἔχουσι, Θουκ. 6. 36· τὴν αὐτὴν δ. δούλωσιν ὁ αὐτ. 1. 141. **4)** ὡς μαθηματ. ὅρος, δύνασθαί τι, = ὑψοῦσθαι εἰς τὸ τετράγωνον καὶ ἰσοῦσθαι, τοῖς ἐπιπέδοις ἃ δύνανται Πλάτ. Θεαιτ. 148Β· αἱ δυνάμεναι αὐτὰ [τὰ μεγέθη] Εὐκλ. 10, 'Ορ. 11, 22· αὐξήσεις δυνάμεναί τε καὶ δυναστευόμεναι, Πλάτ. Πολ. 546Β·— ἴδε ἐν λ. **δύναμις** V. **III.** ἀπρος. οὐ δύναται, μετ' ἀπαρ. ἀορ., δὲν εἶναι δυνατὸν νὰ εἶναι; Valck. 'Ηρόδ. 7. 134., 9. 45· πρβλ. **ἐθέλω** I. 2.

δυναμικός, ή, όν, ἰσχυρός, δυνατός, ἀποτελεσματικός, Χρύσιππ. παρὰ Πλουτ. 1036Ε· πρός τι Πολύβ. 22. 21, 4· κατά τι ὁ αὐτ. 37. 3, 3· ἐπὶ οἴνου, ἰσχυρός, δυνατός, 'Αθήν. 26Β.

δύνᾰμις [ῠ], ἡ, γεν. **-εως**, 'Ιων. **-ιος**, 'Ιων. δοτ. **δυνάμι·** (δύναμαι)·— δύναμις, ἰσχύς, ῥώμη· παρ' 'Ομήρῳ ἰδίως ἐπὶ σωματικῆς δυνάμεως, εἴ μοι δύναμίς γε παρείη 'Οδ. Β. 62, πρβλ. 'Ιλ. Θ. 294· οἵη ἐμὴ δύναμις καὶ χεῖρες 'Οδ. Υ. 237· οὕτως, ἡ δύναμις τῶν νέων 'Αντιφῶν 127. 24, κτλ.·— ἐντεῦθεν καθόλου, δύναμις, ἰσχύς, ἱκανότης πρὸς πρᾶξίν τινος, ὅση δύναμίς γε πάρεστιν 'Ιλ. Θ. 294· πὰρ δύναμιν, παρὰ τὴν δύναμιν, πέρα τῆς δυνάμεώς τινος, Ν. 787· παρὰ πεζοῖς, παρὰ δ. Θουκ. 1. 70, κτλ.· ὑπὲρ δ. Δημ. 292. 25· ἀντιθ. κατὰ δ., ὅσον δύναταί τις, ὅσον ἰσχύει τις, Λατ. pro virili, 'Ηρόδ. 3. 142, κτλ. (κὰδ δ. παρ' 'Ησ. "Εργ. κ. 'Ημ. 334)· οὕτως, εἰς δύναμιν Κρατῖν. Πυλ. 3, Πλάτ. Πολ. 458Ε, κτλ.· πρὸς δ. ὁ αὐτ. Φαῖδρ. 231Α. **2)** ἐξωτερικὴ δύναμις, ἰσχύς, βαρύτης, ἀξίωμα, Λατ. potentia, opes, Αἰσχύλ. Περσ. 174, 'Αγ. 779, 'Ηρόδ. 1. 90, Θουκ. 7. 21, κτλ.· ἐν δ. εἶναι, γίγνεσθαι Ξεν. 'Ελλ. 4. 4, 5, Δημ. 174. 27. **3)** δύναμις διὰ πόλεμον, στρατιωτικαὶ δυνάμεις, ἡ πεζικὴ 'Ηρόδ. 5. 100, κτλ.· δ. καὶ πεζὴ καὶ ἱππικὴ καὶ ναυτικὴ Ξεν. 'Αν. 1. 3, 12. **4)** δύναμις, ποσότης, Λατ. vis, χρημάτων δ. 'Ηρόδ. 7. 9, πρβλ. Θουκ. 9. 97., 6. 46. **II.** δύναμις, ἱκανότης, αἱ τοῦ σώματος δυνάμεις Πλάτ. Θεαιτ. 185Ε· ἡ δ. τῆς ὄψεως Πλάτ. Πολ. 532Α· ἡ τῶν λεγόντων δ. Δημ. 596. 21· μετὰ γεν. πράγμ., ἱκανότης διά τι, τῶν ἔργων 'Αριστ. Πολ. 5. 9, 1· τοῦ λέγειν ὁ αὐτ. Ρητ. 1. 6, 14· τοῦ λόγου, τῶν λόγων Μένανδ. ἐν 'Αδήλ. 52, "Αλεξ. 'Ιππ. 1·— ἀπολ., πᾶσα φυσικὴ ἢ ἠθικὴ ἱκανότης, ἣν δύναταί τις νὰ τελειοποιήσῃ διὰ τῆς ἀσκήσεως καὶ μεταχειρισθῇ διὰ καλὸν ἢ διὰ κακόν, 'Αριστ. Τοπ. 4. 5, 9, Μ. 'Ηθ. 1. 2, 2., 7. 2·— ὡσαύτως ἐπὶ τῶν φυσικῶν δυνάμεων φυτῶν, κτλ., αἱ δ. τῶν φυομένων, τῶν σπερμάτων Ξεν. Κύρ. 8. 8, 14, κτλ.· ἡ παραγωγὸς δύναμις, τῆς γῆς ὁ αὐτ. Οἰκ. 16, 4· μετάλλων ὁ αὐτ. Πόρ. 4, 1. **2)** δύναμις, τέχνη, ὡς ἰατρική, λογική, ῥητορική, 'Αριστ. Μεταφ. 4. 12, 11., 8. 2, 1. **3)** ἰατρικόν, φάρμακον, 'Ιππ.· πρβλ. Bast Γρηγ. σ. 907. **III.** ἡ δύναμις ἢ σημασία λέξεως, Λυσ. 10. 7, Πλάτ. Κρατ. 394Β, κτλ. **2)** ἡ ἀξία τῶν χρημάτων, Θουκ. 6. 46, πρβλ. 2. 97, Πλούτ. Λυκ. 9, Σόλ. 15. **IV.** ἱκανότης εἰς τὸ ὑπάρχειν ἢ ἐνεργεῖν, Λατ. potentia, κατ' ἀντίθεσιν πρὸς τὴν πραγματικὴν ὕπαρξιν ἢ ἐνέργειαν (ἐνέργεια, ἐντελέχεια, 'Αριστ. Μεταφ. 8. 6, 9)· ἐντεῦθεν, δυνάμει, ὡς ἐπίρρ., ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει .. ἐστὶ Δημ. 32. 19· κατ' ἀντίθεσιν πρὸς τὸ ἐνεργείᾳ, Λατ. actu), 'Αριστ. 'Αν. 'Υστ. 1. 24, ἐν τέλ.· ἢ πρὸς τὸ ἐντελεχείᾳ, ὁ αὐτ. Μεταφ. 3. 5, 1 κ. ἀλλ.· ἴδε **ἐνέργεια** II. **V.** ὡς μαθηματ. ὅρος, potentia, ἐν τῇ γεωμετρίᾳ, τὸ τετράγωνον εὐθείας γραμμῆς καὶ ἐν τῇ ἀριθμητικῇ ἰδίως τὸ τετράγωνον ἀριθμοῦ, Πλάτ. Θεαιτ. 147D κέξ.· εὐθεῖαι δυνάμει σύμμετροί εἰσιν, ὅταν τὰ ὑπ' αὐτῶν τετράγωνα τῷ αὐτῷ χωρίῳ μετρῆται Εὐκλ. 10. 'Ορ. 3· πρβλ. **δύναμαι** II. 4.

δυνᾰμο-δύναμις, εως, ἡ, δύναμις δυνάμεως, π. χ. τὸ τετράγωνον τοῦ τετραγώνου, Διόφαντ. 2.

δυναμοδυναμοστός, ή, όν, ὑψωμένος εἰς τὴν 4ην δύναμιν, Διόφ. 3.

δυναμόκυβος, ὁ, τετράγωνον τοῦ κύβου (6η δύναμις), Διόφ. 2.

δυναμοκυβοστός, ή, όν, ὑψωμένος εἰς τὴν 6ην δύναμιν, Διόφ. 3.

δυναμοστός, ὁ, (ἀριθμός), ὑψωμένος εἰς τὸ τετράγωνον, Διόφ. 3.

δυνᾰμόω, ἐνισχύω, 'Εβδ. ('Εκκλ. ι', 10), Θεοδοτ. Δαν. 9. 27·— συνήθ. ἐν τῷ παθ., 'Επ. π. Κολοσσ. α', 11, Εὐσ., κτλ.

δύνᾰσις [ῠ], **εως,** ἡ, ποιητ. ἀντὶ τοῦ **δύναμις,** Πίνδ. Π. 4. 424, Σοφ. 'Αντ. 604, 951, Εὐρ. "Ιωνι 1012· ἐν (ὁ ἐ. ἐς) δύνασιν, pro virili, 'Επιγρ. Δελφ. ἐν τῇ Συλλ. 'Επιγρ. 1588. 5.

δῠναστεία, ἡ, (δυναστεύω) κυριαρχία, ἐξουσία, Σοφ. Ο. Τ. 593, Δημ. 247. 10· δ. ὀλίγων ἀνδρῶν Θουκ. 3. 62, πρβλ. Πλάτ. Πολιτ. 291D· πολιτικαὶ δ., ἡ ἐξάσκησις πολιτικῆς ἐξουσίας, ὁ αὐτ. Θεαιτ. 176C. **II.** ὀλιγαρχία Θουκ. 4. 78, 'Ανδοκ. 23. 12, Ξεν. 'Ελλ. 5. 4. 46, κτλ.· κατατασσομένη ὑπὸ τοῦ 'Αριστ. μεταξὺ τῆς τυραννίδος καὶ τῆς δημοκρατίας, Πολ. 4. 5, 2, πρβλ. 4. 6, 11., 5. 6, 12·— ὁ δὲ Δίων Κ. 52. 1 μεταχειρίζεται τὴν λέξιν πρὸς παράστασιν τῆς ἐξουσίας τῆς Ρωμαϊκῆς Συγκλήτου.

δυναστευτικός, ή, όν, ὁ ἀνήκων ἢ ὅμοιος πρὸς δυνάστην, αὐθαίρετος, ἀντίθ. **πολιτικός,** 'Αριστ. Πολ. 2. 10, 13, πρβλ. 4. 14, 7., 5. 6, 11.

δῠναστεύω, εἶμαι **δυνάστης,** ἔχω ἐξουσίαν ἢ κυριαρχίαν, 'Ηρόδ. 9. 2, Θουκ. 6. 89, 'Ισοκρ. 249C, κτλ.· ἡ πόλις τῶν λοιπῶν ἐδυνάστευε μάλιστα 'Ηρόδ. 5. 97· μετὰ γεν., εἶμαι κύριος ἐπί τινος, Ποσειδών. παρ' 'Αθην. 213Α, Διόδ. 4. 31· μετὰ δοτ., 'Αθήν. 624D·— καθόλου, ὑπερισχύω, κατισχύω, ἐπικρατῶ· ἐπὶ ἀνέμου, ἐπὶ κλίματος, 'Ιππ. 'Αφ. 1247, 'Αέρ. 288· ἔχω δύναμιν, ῥοπήν, ἐξασκῶ ἐπίδρασιν, ἐν τῷ σώματι 'Ιππ. 'Αρχ. 'Ιητρ. 14.— Παθ., κυβερνῶμαι, διευθύνομαι, ὑπό τινος Γαλην. **II.** ὡς μαθηματ. ὅρος, ἴδε ἐν λ. **δύναμαι** II. 4.

δῠνάστης, ου, ὁ, κύριος, ἀπόλυτος ἄρχων, κυβερνήτης· ἐπὶ τοῦ Διός, Σοφ. 'Αντ. 608· ἐπὶ τοῦ Ξέρξου (ἴδε ἐν λ. **δυνάτης**)· οἱ δ., οἱ πρῶτοι, οἱ ἄριστοι, οἱ προύχοντες ἔν τινι πολιτείᾳ, Λατ. optimates, 'Ηρόδ. 2. 32, Πλάτ. Πολ. 473D, κτλ.· παρὰ Πολυβ., ἐπὶ μικρῶν ἀρχόντων, ἡγεμόνων μικρᾶς χώρας, τὸ τοῦ Λιβίου reguli, 9. 23, 5., 10. 34, 2, κτλ.·— ἐν Αἰσχύλ. 'Αγ. 6 οἱ ἀστέρες καλοῦνται λαμπροὶ δυνάσται.

δυναστικός, ή, όν, ἀνήκων ἢ κατάλληλος διὰ δυνάστην, αὐθαίρετος, 'Αριστ. Πολ. 6. 6, 3.

δυνάστις, ιδος, ἡ, θηλ. τοῦ **δυνάστης,** Δημ. Φαλ. 311.

δυναστοῦντες (= **δυναστεύοντες**), 'Επιγρ. Αἰγύπτου, Rev. Arch. 1866, σ. 754.

δυνάστωρ, ορος, ὁ, = **δυνάστης,** Ψευδευριπ. I. Α. 280.

δυνᾰτέω, εἶμαι δυνατός, ἰσχυρός, Β 'Επιστ. π. Κορινθ. ιγ', 3.

δυνάτης [ᾰ], **ου,** ὁ, ποιητ. ἀντὶ τοῦ **δυνάστης,** ὦ δυνάτα Αἰσχύλ. Περσ. 674, κατὰ τὸ Μεδ. χφον καὶ τὸν Σχολ.

